SYLLOGE
GRAECORUM AUCTORUM
TUM SOLUTAE TUM LIGATAE
ORATIONIS
AD USUM STUDIOSAE JUVENTUTIS.
PARS PRIMA
Pro classibus grammaticae, et humaniorum litterarum.





NEAPOLI
Ex Typographia Raphaelis Miranda
Venditur Via Quercia n.° 7.
1836.



MONITUM

Adhuc thypis opus aliquod ex iis desiderari intelleximus; quae probatissimos ex Graecorum auctorum libris selectos locos continent, atque adolescentibus, qui in graecis letteris instituuntur proponi solent. Quamvis enim multa huiusmodi edita sint exemplaria, ea tamen omnibus omnino non satisfaciebant. Nonnulla enim nimis angusta videbantur, ac contracta, tum quod aliquot dicendi genera deessent, tum quod ii ipsi loci qui proponebantur quod absolutas sententias ac res non haberent nonnihil etiam ingeniis officere existimabantur. In aliis, quibus maior esset rerum copia id displicebat, quod cum ii qui compilaverant suo magis nomini, quam adolescentium utilitati servissent exquisitissima quaedam de industria collegerant, quae vero magis tironibus accomodata essent, omiserant. Utrique incommodo occurrere cupientes novum opus aggredi statuimus opera et studio eorum, quorum maximi in adolescentia instituenda sunt labores, quod graecarum litterarum amatoribus gratissimum

fore speramus. Novos enim locos selegimus, quibus omnia dicendi genera continerentur, eosque eo ordine collocavimus, quo graecae linguae studium distribui solet, ut a facilioribus gradatim ad graviores procederemus. Itaque inter reliquos vetustioris aetatis scriptores aliquid etiam ex SS. Jo. Chrysostomo, Basilio, et Natianzeno, collocavimus, quod si eruditissimis non probabitur, quibus hi minus politi videantur, certe illis non displicebit, quibus curae est ut adolescentes cum litteris mores doceantur. Nec tamen a perfecta scribendi ratione illi ita recedunt, ut periculum sit, ne adolescentium stilus corrumpatur.

Singulis igitur classibus sua laxata sunt spatia, per quae evagentur, quin una alteram impediat. Superest, ut tantum studii his legendis atque ediscendis impendant adolescentes, quantum nos ad ea eligenda curae adiecimus. Quod non dubitamus fore ut eveniat, si non remittatur ille ardor quo graecas litteras hac aetate expeti, atque amari cognovimus.

ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ

ΕΥΑΓΓΕΛΙΟΝ

Κεφ. α. (Ι.)

1 ΕΠΕΙΔΗΠΕΡ πολλοι επεχειρησαν αναταξασθαι διηγησιν περι των πεπληροφορημενων ἐν ἡμῖν πραγματων.

2 Καθὼς παρεδοσαν ἡμῖν οἱ απ' αρχῆς αυτοπται και ὑπηρεται γενομενοι του λογου·

3 Εδοξε καμοι, παρηκολουθηκοτι ανωθεν πᾶσιν ακριβῶς, καθεξῆς σοι γραψαι, κρατιστε Θεοφιλε.

4 Ινα επιγνῶς περι ὧν κατηχηθης λογων την ασφαλειαν.

5 Εγενετο εν ταῖς ἡμεραις Ἡρωδου του βασιλεως τῆς Ιουδαιας, ἱερευς τις ονοματι Ζαχαριας, εξ εφημεριας Αβια· και ἡ γυνη αὐτοῦ εκ τῶν θυγατερων Ααρων, και το ονομα αυτῆς Ελισαβετ.

6 Ἠσαν δε δικαιοι αμφοτεροι εναντιον

τοῦ Θεῦ, πορευομενοι εν πασαις ταῖς εντολαῖς και δικαιωμασι τοῦ Κυριϐ αμεμπτοι.

7 Και ουκ ἦν αυτοῖς τεκνον, καθοτι ἡ Ελισαβετ ἡν στεῖρα, και αμφοτεροι προβεβηκοτες εν ταῖς ἡμεραις αυτῶν ἦσαν.

8 Εγενετο δε εν τῷ ἱερατευειν αυτον εν τῇ ταξει τῆς εφημεριας αυτϐ εναντι τοῦ Θεϐ́.

9 Κατα το εθος τῆς ἱερατειας, ελαχε τοῦ θυμιασαι, εισελθων εις τον ναον τϐ Κυριου.

10 Και πᾶν το πλῆθος τοῦ λαϐ ἦν προσευχομενον εξω τῇ ὡρα τοῦ θυμιαματος.

11 Ωφθη δε αυτῷ Αγγελος Κυριϐ, ἑστως εκ δεξιῶν τϐ θυσιαστηριϐ τϐ θυμιαματος.

12 Και εταραχθη Ζαχαριας ιδων, και φοβος επεπεσεν επ' αυτον.

13 Εἶπε δε προς αυτον ὁ Αγγελος· Μη φοβοῦ Ζαχαρια· διοτι εισηκουσθη ἡ δεησις σου· και ἡ γυνη σϐ Ελισαβετ γενησει υἱον σοι, και καλεσεις το ονομα αυτϐ Ιωαννην.

14 Και εσται χαρα σοι και αγαλλιασις, και πολλοι ἐπι τῇ γεννησει αυτϐ χαρησονται.

15 Εσται γαρ μεγας ενωπιον του Κυ-
ριȣ· και οἶνον, και σικερα ου μη πιη·
και Πνευματος ἁγιȣ· πλησθησεται ετι εκ
κοιλιας μητρος αὐτου.

16 Και πολλους των υἱων Ισραηλ επι-
στρεψει επι Κυριον τον Θεον αυτων.

17 Και αυτος προελευσεται ενωπιον
αυτȣ εν πνευματι, και δυναμει Ηλιου,
επιστρεψαι καρδιας πατερων επι τεκνα,
και απειθεις εν φρονησει δικαιων, ἑτοι-
μασαι Κυριῳ λαον κατεσκευασμενον.

18 Και εἶπε Ζαχαριας προς τον Αγ-
γελον· Κατα τι γνωσομαι τουτο; εγω
γαρ ειμι πρεσβυτης, και ἡ γυνη μȣ προ-
βεβηκυια εν ταις ἡμεραις αὐτης.

19 Και αποκριθεις ὁ Αγγελος εἶπεν
αυτῳ· Εγω ειμι Γαβριηλ ὁ παρεστηκως
ενωπιον τȣ Θεȣ· και απεσταλην λαλη-
σαι προς σε, και ευαγγελισασθαι σοι
ταυτα.

20 Και ιδου εσῃ σιωπων, και με δυ-
ναμενος λαλησαι, αχρι ἡς ἡμερας γενηται
ταυτα, ἀνθ᾽ ὧν ουκ επιστευσας τοις λο-
γοις μου, οἱ τινες πληρωθησονται εις
τον καιρον αὐτων.

21 Και ἠν ὁ λαος προσδοκων τον Ζα-
χαριαν· και εθαυμαζον εν τῳ χρονιζειν
αυτον εν τῳ ναῳ.

22 Εξελθων δε ουκ ηδυνατο λαλῆσαι
αυτοῖς· και επεγνωσαν ότι οπτασιαν ἑωρα-
κεν εν τῷ ναῷ. Και αυτος ῆν διανευων
αυτοῖς, και διεμεινε κωφος.
23 Και εγενετο ὡς επλησθησαν αἱ ἡ-
μεραι τῆς λειτουργιας αυτȣ̃, απῆλθεν εις
τον οἶκον αὐτȣ̃.
24 Μετα δε ταυτας τας ἡμερας συνε-
λαβεν Ελισαβετ ἡ γυνη αυτȣ̃, και πε-
ριεκρυβεν ἑαυτην μῆνας πεντε, λεγȣσα.
25 Οτι οὑτω μοι πεποιηκεν ὁ Κυριος
εν ἡμεραις, αἷς επειδεν αφελειν το ονει-
δος μȣ εν ανθρωποις.
26 Εν δε τῷ μηνι τῷ ἑκτῳ απεσταλη
ὁ αγγελος Γαβριηλ ὑπο τȣ̃ Θεȣ̃ εις πο-
λιν τῆς Γαλιλαιας, ῇ ονομα Ναζαρετ,
27 Προς παρθενον μεμνηστευμενην αν-
δρι ᾧ ονομα Ιωσηφ, ἐξ οικȣ Δαβιδ, και
το ονομα τῆς παρθενȣ Μαριαμ.
28 Και εισελθων ὁ Αγγελος προς αυ-
την, εἶπε· Χαῖρε κεχαριτωμενη· ὁ Κυ-
ριος μετα σȣ̃· ευλογημενη συ εν γυ-
ναιξιν.
29 Ἡ δε ιδουσα διεταραχθη επι τῷ
λογῳ αυτȣ̃. και διελογιζετο ποταπος ειη ὁ
ασπασμος ȣ̃τος.
30 Και εἶπεν ὁ Αγγελος αυτῇ· Μη
φοβȣ̃, Μαριαμ· εὗρες γαρ χαριν παρα
τῷ Θεῷ.

31 Και ιδου συλληψη εν γαστρι, και
τεξη υιον, και καλεσεις το ονομα αυτε
Ιησεν.

32 Ούτος εσται μεγας. και υἱος Υψι-
στε κληθησεται. και δωσει αυτω Κυριος
ὁ Θεος τον θρονον Δαβιδ τε πατρος
αυτε.

33 Και βασιλευσει επι τον οικον Ια-
κωβ εις τες αιωνας. και της βασιλειας
αυτε ουκ εσται τελος.

34 Είπε δε Μαριαμ προς τον Αγγε-
λον· Πως εσται τετο, επει ανδρα ου γι-
νωσκω;

35 Και αποκριθεις ὁ Αγγελος ειπεν
αυτη· Πνευμα άγιον επελευσεται επι σε,
και δυναμις Ὑψιστε επισκιασει σοι. διο
και το γενναμενον εκ σε Άγιον, κληθη-
σεται υἱος Θεε.

36 Και ιδε Ελισαβετ ἡ συγγενης σε,
και αυτη συνειληφυΐα υἱον εν γηρει αὐτης·
και οὗτος μην ἑκτος εστιν αὐτη τη καλε-
μενη στειρα.

37 Ότι εκ αδυνατησει παρά τω Θεω
παν ῥημα.

38 Είπε δε Μαριαμ· Ιδου ἡ δουλη
Κυριε· γενοιτο μοι κατα το ῥημα σε.
Και απηλθεν απ' αυτης ὁ Αγγελος.

39 Αναστασα δε Μαριαμ εν ταις ἡμε-

ραις ταυταις, επορευθη εις την ορεινην
μετα σπȣδῆς, εις πολιν Ιȣδα.
40 Και εισῆλθεν εις τον οἶκον Ζαχα-
ριȣ, και ησπασατο την Ελισαβετ.
41 Και εγενετο ὡς ηκȣσεν ἡ Ελισαβετ
τον ασπασμον τῆς Μαριας, εσκιρτησε το
βρεφος εν τῇ κοιλια αυτῆς· και επλησθη
Πνευματος ἁγιȣ ἡ Ελισαβετ·
42 Και ανεφωνησε φωνῃ μεγαλῃ, και
εἶπεν· Ευλογεμενη συ εν γυναιξι, και
ευλογημενος ὁ καρπος τῆς κοιλιας σȣ.
43 Και ποθεν μοι τοῦτο, ἱνα ελθῃ
ἡ μητηρ τȣ Κυριȣ μȣ προς με;
44 Ιδου γαρ ὡς εγενετο ἡ φωνη τȣ̃
ασπασμȣ̃ σȣ εις τα ὦτα μȣ, εσκιρτησεν
εν αγαλλιασει το βρεφος εν τῇ κοιλια μȣ.
45 Και μακαρια ἡ πιστευσασα ὁτι ε-
σται τελειωσις τοις λελαλημενοις αυτῇ
παρα Κυριȣ.
46 Και εἶπε Μαριαμ· Μεγαλυνει ἡ
ψυχη μȣ τον Κυριον.
47 Και ηγαλλιασε το πνεῦμα μȣ επι
τῷ Θεῷ τῷ σωτῆρι μȣ.
48 Ὁτι επεβλεψεν επι την ταπεινωσιν
τῆς δȣλης αὐτȣ̃· Ιδȣ γαρ ἀπο τȣ̃ νῦν μα-
καριȣ̃σι με πᾶσαι αἱ γενεαι.
49 Ὁτι εποιησε μοι μεγαλεῖα ὁ δυνα-
τος, και ἁγιον το ονομα αυτοῦ.

50 Και το ελεος αυτοῦ εις γενεας γενεῶν τοῖς φοβȣμενοις αυτον.

51 Εποιησε κρατος εν βραχιονι αὐτȣ· διεσκορπισεν ὑπερηφανους διανοια καρδιας αυτῶν.

52 Καθεῖλε δυναστας ἀπο θρονων, και ὑψωσε ταπεινȣς.

53 Πεινῶντας ενεπλησεν αγαθῶν, και πλȣτȣ̃ντας ἐξαπεστειλε κενȣς.

54 Αντελαβετο Ισραηλ παιδος αὐτȣ μνησθῆναι ελεȣς.

55 Καθως ελαλησε προς τȣς πατερας ἡμῶν, τῷ Αβρααμ, και τῷ σπερματι αυτȣ̃ εις τον αιῶνα.

56 Εμεινε δε Μαριαμ συν αυτῇ ωσεῖ μῆνας τρεῖς· και ὑπεστρεψεν εις τον οἶκον αὐτης.

57 Τῃ δε Ελισαβετ επλησθη ὁ χρονος τȣ̃ τεκειν αυτην, και εγεννησεν υἱον.

58 Και ηκȣσαν οἱ περιοικοι, και οἱ συγγενεῖς αυτῆς, ὁτι εμεγαλυνε Κυριος το ελεος αὐτȣ̃ μετ' αυτης, και συνεχαιρον αυτῇ.

59 Και εγενετο, εν τῇ ογδοῃ ἡμερα ἦλθον περιτεμεῖν το παιδιον, και εκαλȣν αυτο επι τῷ ονοματι τȣ̃ πατρος αυτȣ̃, Ζαχαριαν.

60 Και αποκριθεῖσα ἡ μητηρ αυτȣ̃ εἰ-

πεν. Ουχι. αλλα κληθησεται Ιωαννης.

61 Και ειπον προς αυτην. Ότι ουδεις
εστιν εν τη συγγενεια σου ὃς καλειται τω
ονοματι τουτω.

62 Ενενευον δε τω πατρι αυτου, το τι
αν θελοι καλεισθαι αυτον.

63 Και αιτησας πινακιδιον, εγραψε
λεγων· Ιωαννης εστι το ονομα αυτου. Και
εθαυμασαν παντες.

64 Ανεωχθη δε το στομα αυτου πα-
ραχρημα. και ἡ γλωσσα αυτου, και ελα-
λει ευλογων τον Θεον.

65 Και εγενετο επι παντας φοβος τους
περιοικουντας αυτους· και εν ὁλη τη ο-
ρεινη της Ιουδαιας διελαλειτο παντα τα
ῥηματα ταυτα·

66 Και εθεντο παντες οἱ ακουσαντες εν
τη καρδια αὐτων λεγοντες· Τι αρα το
παιδιον τουτο εσται; Και χειρ Κυριου γαρ
ην μετ᾽ αυτου.

67 Και Ζαχαριας ὁ πατηρ αυτου επλη-
σθη Πνευματος ἁγιου· και προεφητευσε
λεγων·

68 Ευλογητος Κυριος ὁ Θεος του Ισραηλ
ὁτι επεσκεψατο, και εποιησε λυτρωσιν τω
λαω αὐτου.

69 Και ηγειρε κερας σωτηριας ἡμιν,
εν τω οικω Δαβιδ του παιδος αὐτου.

70 Καθως ελαλησε δια στοματος των αγιων των απ' αιωνος προφητων αυτȣ.

71 Σωτηριαν εξ εχθρων ἡμων, και εκ χειρος παντων των μισȣντων ἡμας.

72 Ποιησαι ελεος μετα των πατερων ημων, και μνησθηναι διαθηκης ἁγιας αυτȣ.

73 Ὁρκον ὁν ωμοσε προς Αβρααμ τον πατερα ἡμων, τȣ δȣναι ἡμιν.

74 Αφοβως; εκ χειρος των εχθρων ημων ρυσθεντας, λατρευειν αυτῳ.

75 Εν ὁσιοτητι, και δικαιοσυνη ενωπιον αυτȣ, πασας τας ημερας της ζωης ἡμων·

76 Και συ, παιδιον, προφητης Ὑψιστȣ κληθηση· πορευση γαρ προ προσωπȣ Κυριȣ, ἑτοιμασαι ὁδȣς αυτȣ.

77 Τȣ δȣναι γνωσιν σωτηριας τῳ λαῳ αυτου, εν αφεσει ἁμαρτιων αυτων.

78 Δια σπλαγχνα ελεȣς Θεȣ ἡμων, εν οἱς επεσκεψατο ἡμας ανατολη εξ ὑψȣς·

79 Επιφαναι τοις εν σκοτει, και σκιᾳ θανατȣ καθημενοις, τȣ κατευθυναι τȣς ποδας ἡμων εις ὁδον ειρηνης.

80 Το δε παιδιον ηυξανε, και εκραταιȣτο πνευματι, και ἠν εν ταις ερημοις ἑως ἡμερας αναδειξεως αυτȣ προς τον Ισραηλ.

Κεφ. β. (II.)

1 Εγενετο δε εν ταῖς ἡμεραις εκειναις,
εξῆλθε δογμα παρα Καισαρος Αυγȣστου,
απογραφεσθαι πασαν την οικουμενην.
2 Αὐτη ἡ απογραφη πρωτη εγενετο ἡ-
γεμονευοντος τῆς Συριας Κυρηνιȣ.
3 Και επορευοντο παντες απογραφεσ-
θαι, ἑκαστος εις την ιδιαν πολιν.
4 Ανεβη δε και Ιωσηφ απο της Γα-
λιλαιας εκ πολεως Ναζαρετ, εις την Ιȣ-
δαιαν, εις πολιν Δαβιδ, ἡτις καλεῖται
Βηθλεεμ, δια το εἶναι αυτον εξ οικου
και πατριας Δαβιδ.
5 Απογραψασθαι συν Μαριαμ τῇ με-
μνηστευμενῃ αὐτῷ γυναικι, ουσῃ εγκυῳ.
6 Εγενετο δε εν τῷ εἶναι αὐτȣς εκει,
επλησθησαν αἱ ἡμηραι τȣ τεκεῖν αυτην.
7 Και ετεκε τον ὑιον αὐτῆς τον πρω-
τοτοκον, και εσπαργανωσεν αυτον, και
ανεκλινεν αυτον εν τῇ φατνῃ. διοτι ȣκ
ἠν αυτοῖς τοπος εν τῷ καταλυματι.
8 Και ποιμενες ἦσαν εν τῇ χωρα τῇ
αυτῇ αγραυλȣντες, και φυλασσοντες φυ-
λακας τῆς νυκτος επι την ποιμνην αὐ-
τῶν.
9 Και ιδȣ Αγγελος Κυριȣ επεστη αὐ-

τοις, και δοξα Κυριου περιελαμψεν αυ-
τους, και εφοβηθησαν φοβον μεγαν.
10 Και ειπεν αυτοις ὁ Αγγελος· Μη
φοβεισθε· ιδου γαρ ευαγγελιζομαι ὑμιν
παντι χαραν μεγαλην ἡτις εστε τῳ λαῳ.
11 Ὁτι ετεχθη ἡμιν σημερον Σωτηρ,
ὁς εστι Χριστος Κυριος. εν πολει Δαβιδ.
12 Και τουτο ὑμιν το σημειον· Εὑ-
ρησετε βρεφος εσπαργανωμενον, κειμενον
εν τῃ φατνῃ.
13 Και εξαιφνης εγενετο συν τῳ Αγ-
γελῳ πληθος στρατιας ουρανιου, αινουντων
τον Θεον, και λεγοντων.
14 Δοξα εν ὑψιστοις Θεῳ, και επι
γης ειρηνη, εν ανθρωποις ευδοκια.
15 Και εγενετο, ὡς απηλθον απ' αυ-
των εις τον ουρανον οἱ Αγγελοι, και οἱ
ανθρωποι οἱ ποιμενες ειπον προς αλλη-
λους· Διελθωμεν δη ἑως Βηθλεεμ και ιδω-
μεν το ῥημα τουτο το γεγονος ὁ ὁ Κυ-
ριος εγνωρισεν ἡμιν.
16 Και ἠλθον σπευσαντες, και ανευ-
ρον την Μαριαμ, και τον Ιωσηφ, και το
βρεφος κειμενον εν τῃ φατνῃ.
17 Ιδοντες δε διεγνωρισαν περι του ῥη-
ματος του λαληθεντος αυτοις περι του
παιδιου τουτου.
18 Και παντες οἱ ακουσαντες εθαυμα-

σαν περι του λαληθεντων ὑπο τῶν ποι-
μενων προς αυτυς.
19 Ἡ δε Μαριαμ παντα συνετηρει τα
ρηματα ταῦτα, συμβαλλυσα εν τῇ καρ-
δια αὑτῆς.
20 Και επεστρεψαν οἱ ποιμενες δοξα-
ζοντες και αινυντες τον Θεον επι πᾶσιν
οἷς ηκυσαν και ειδον, καθως ελαληθη
προς αυτους.
21 Και ὁτε επλησθησαν ἡμεραι οκτω
τῦ περιτεμεῖν το παιδιον, και εκληθη
το ονομα αυτῦ Ιησῦς, το κληθεν υπο
τῦ Αγγελυ τῦ συλληφθῆναι αυτον εν τη
κοιλια.
22 Και οτε επλησθησαν αἱ ἡμεραι τῦ
καθαρισμῦ αυτῦ κατα τον νομον Μωσεως,
ανηγαγον αυτον εις Ιεροσολυμα, παρα-
στῆσαι τῷ Κυριῳ.
23 (Καθως γεγραπται εν νομῳ Κυριυ.
Οτι πᾶν αρσεν διανοῖγον μητραν, ἁγιον
τῷ Κυριῳ κληθησεται).
24 Και τῦ δῦναι θυσιαν κατα το ειρη-
μενον εν νομῳ Κυριυ. ζεῦγος τρυγονων
η δυο νεοσσυς περιστερῶν.
25 Και ιδυ, ἦν ανθρωπος εν Ἰερυσα-
λημ ᾧ ονομα Συμεων· και ὁ ανθρωπος
ὗτος δικαιος και ευλαβης προσδεχομενος
παρακλησιν τυ Ισραηλ· και Πνεῦμα ἁγιον
ἦν επ᾽ αυτον.

26 Και ἦν αυτῷ κεχρηματισμενον υπο τȣ Πνευματος τȣ αγιȣ, μη ιδεῖν θανατον πριν η ιδη τον Χριστον Κυριȣ.

27 Και ηλθεν εν τῷ Πνευματι εις το ἱερον. Και εν τῷ εισαγαγεῖν τους γονεῖς το παιδιον Ιησοῦν τοῦ ποιησαι αυτος κατα το ειθισμενον τȣ νομȣ περι αυτȣ.

28 Και αυτος εδεξατο αυτο εις τας αγκαλας αυτȣ, και ευλογησε τον Θεον, και εἶπε·

29 Νῦν απολυεις τον δȣλον σȣ. δεσποτα, κατα το ρῆμα σȣ εν ειρηνη

30 Οτι εἶδον οἱ οφθαλμοι μȣ το σωτηριον σȣ,

31 Ο ἡτοιμασας κατα προσωπον παντων τῶν λαῶν.

32 Φῶς εις αποκαλυψιν εθνῶν, και δοξαν λαȣ σου Ισραηλ.

33 Και ἦν Ιωσηφ και ἡ μητηρ αυτȣ θαυμαζοντες επι τοῖς λαλȣμενοις περι αυτȣ.

34 Και ευλογησεν αυτȣς Συμεων, και εἶπε προς Μαριαμ την μητερα αυτȣ· Ιδȣ, ȣτος κειται εις πτῶσιν και αναστασιν πολλῶν εν τῷ Ισραηλ, και εις σημεῖον αντιλεγομενον.

35 (Και σȣ δε αυτης την ψυχην διελευσεται ρομφαια·) οπως αν αποκα-

λυφθῶσιν εκ πολλῶν καρδιῶν διαλογισμοι.
36 Και ἦν Αννα προφῆτις, θυγατηρ
Φανυηλ, εκ φυλῆς Ασηρ· αυτη προβεβη
κυῖα εν ἡμεραις πολλαῖς, ζησασα ετη
μετα ἀνδρος ἑπτα απο τῆς παρθενιας
αυτῆς.
37 Και αυτη χηρα ὡς ετῶν ογδοη-
κοντα τεσσαρων, ἡ ουκ αφιστατο απο τοῦ
ἱεροῦ, νηστειαις και δεησεσι λατρευουσα
νυκτα και ἡμεραν.
38 Και αυτη, αυτῇ τῇ ὡρᾳ επιστα-
σα, ανθωμολογεῖτο τῷ Κυριῳ, και ελα-
λει περι αυτοῦ πᾶσι τοῖς προσδεχομενοις
λυτρωσιν εν Ἱερουσαλημ.
39 Και ὡς ετελεσαν ἁπαντα τα κατα
τον νομον Κυριου, υπεστρεψαν εις την
Γαλιλαιαν, εις την πολιν αυτῶν Να-
ζαρετ.
40 Το δε παιδιον ηυξανε, και εκρα-
ταιοῦτο πνευματι, πληρουμενον σοφιας·
και Χαρις Θεοῦ ἦν επ' αυτο.
41 Και επορευοντο οἱ γονεῖς αυτοῦ
κατ' ετος εις Ἱερουσαλημ τῇ ἑορτῇ τοῦ
Πασχα.
42 Και ὁτε εγενετο ετῶν δωδεκα, α-
ναβαντων αυτων εις Ἱεροσολυμα κατα
το ἐθος τῆς ἑορτῆς·
43 Και τελειωσαντων τας ἡμερας,

εν τῷ υποστρεφειν αυτυς, υπεμεινεν Ιησυς ὁ παῖς εν Ἰερυσαλημ· και υκ εγνω Ιασηφ και ἡ μητηρ αυτυ.

44 Νομισαντες δε αυτον εν τῇ συνοδιᾳ εἶναι ἦλθον ἡμερας ὁδον, καὶ ανεζητυν αυτον εν τοῖς συγγενεσι και εν τοῖς γνωστοῖς.

45 Και μη ευροντες αυτον, υπεστρεψαν εις Ἰερυσαλημ ζητῦντες αυτον.

46 Και εγενετο, μεθ' ἡμερας τρεῖς εὗρον αυτον εν τῷ ἱερῷ καθεζομενον εν μησῳ τῶν διδασκαλων, και ακουοντα αυτῶν, και επερωτῶντα αυτυς.

47 Εξισταντο δε παντες οἱ ακουοντες αυτῦ, επὶ τῇ συνεσει και ταῖς αποκρισεσιν αυτῦ.

48 Και ιδοντες αυτον εξεπλαγησαν. Και προς αυτον, η μητηρ αυτῦ εἶπε· Τεκνον· τι εποιησας ἡμῖν ὗτως; ιδυ ὁ πατηρ συ καγω οδυνωμενοι εζητῦμεν σε.

49 Και εἶπε προς αυτυς· Τι ὁτι εζητεῖτε με; υκ ᾔδειτε ὁτι εν τοῖς τῦ πατρος μυ δεῖ εἶναι με;

50 Και αυτοι ου συνῆκαν το ῥῆμα ὁ ελαλησεν αυτοῖς.

51 Και κατεβη μετ' αυτῶν, και ἦλθεν εις Ναζαρετ· και ἦν υποτασσομενος

αυτοῖς . Και ἡ μητηρ αυτȣ διετηρει παν-
τα τα ρηματα ταῦτα εν τῇ καρδιᾳ αυ-
τῆς.
52 Και Ιησȣ̃ς προεκοπτε σοφιᾳ και ἡλι-
κιᾳ, και Χαριτι παρα Θεῷ και ανθρωποις.

Κεφ. ιε (XV)

1 Ησαν δε εγγιζοντες αυτῷ παντες οἱ
τελῶναι και οἱ ἁμαρτωλοι, ακȣειν αυτȣ.
2 Και διεγογγυζον οἱ Φαρισαῖοι, και
οἱ Γραμματεῖς λεγοντες· Οτι οὗτος ἁ-
μαρτωλους προσδεχεται, και συνεσθιει αυ-
τοις.
3 Εἶπε δε προς αυτȣς την παραβολην
ταυτην. λεγων·
4 Τις ανθρωπος εξ ὑμῶν εχων ἑκατον
προβατα, και απολεσας εν εξ αυτῶν,
ου καταλειπει τα εννενηκονταεννεα εν τῇ
ερημῳ, και πορευεται επι το απολωλος·
ἑως εὑρη αυτο;
5 Και εὑρων επιτιθησιν επι τȣς ωμȣς
ἑαυτȣ χαιρων·
6 Και ελθων εις τον οἶκον, συγκαλεῖ
τȣς φιλȣς και τȣς γειτονας λεγων αυ-
τοῖς· Συγχαρητε μοι, ὁτι εὗρον το προ-
βατον μȣ το απολωλος.

7 Λεγω ὑμῖν ὅτι οὕτω χαρα εσται εν τῷ ουρανῷ επι ἑνι ἁμαρτωλῷ μετανοουντι, η επι εννηκονταεννεα δικαιοις, οἱ τινες ου χρειαν εχουσι μετανοιας.

8 Η τις γυνη δραχμας εχουσα δεκα, εαν ἀπολεσῃ δραχμην μιαν, ουχι ἁπτει λυχνον. καὶ σαροῖ την οικιαν, και ζητεῖ επιμελῶς, ἕως ὅτου ευρῃ;

9 Και εὑροῦσα συγκαλεῖται τας φιλας, και τας γειτονας λεγουσα· Συγχαρητε μοι, ὅτι εὗρον την δραχμην ἣν απωλεσα.

10 Οὕτω λεγω ὑμῖν, χαρα γινεται ενωπιον τῶν Αγγελων τοῦ Θεοῦ επι ἑνι ἁμαρτωλῷ μετανοοῦντι.

11 Εἶπε δε· Ανθρωπος τις εἶχε δυο υἱους.

12 Και εἶπεν ὁ νεωτερος αυτῶν τῷ πατρι· Πατερ, δος μοι το επιβαλλον μερος τῆς ουσιας. Και διεῖλεν αυτοῖς τον βιον.

13 Και μετ' ου πολλας ἡμερας συναγαγων ἅπαντα ὁ νεωτερος υἱος απεδημησεν εις χωραν μακραν, και εκεῖ διεσκορπισε την ουσιαν αὑτοῦ, ζῶν ασωτως.

14 Δαπανησαντος δε αυτοῦ παντα, εγενετο λιμος ισχυρος κατα την χωραν εκεινην· καὶ αυτος ηρξατο υστερεῖσθαι.

15 Και πορευθεις εκολληθη ἑνι τῶν πολιτῶν τῆς χωρας εκεινης. Καὶ επεμψεν

αυτον εις τες αγρες αυτε βοσκειν Χοιρες.

16 Και επεθυμει γεμισαι την κοιλιαν αυτε απο των κερατιων ὧν ησθιον οἱ χοιροι· και εδεις εδιδε αυτῳ.

17 Εις ἑαυτον δε ελθων ειπε· Ποσοι μισθιοι τε πατρος με περισσευεσιν αρτων, εγω δε λιμῳ απολλυμαι;

18 Αναστας πορευσομαι προς τον πατερα με, και ερω αυτῳ· Πατερ, ἡμαρτον εις τον ερανον, και ενωπιον σε·

19 Και εκετι ειμι αξιος κληθηναι υιος σε· ποιησον με ὡς ἑνα των μισθιων σε.

20 Και αναστας ἠλθε προς τον πατερα ἑαυτε. Ετι δε αυτε μακραν απεχοντος ειδεν αυτον ὁ πατηρ αυτε, και εσπλαγχνισθη· και δραμων επεπεσεν επι τον τραχηλον αυτε, και κατεφιλησεν αυτον.

21 Ειπε δε αυτῳ ὁ υἱος· Πατερ, ἡμαρτον εις τον ουρανον και ενωπιον σου, και ουκετι ειμι αξιος κληθηναι υἱος σε.

22 Ειπε δε ὁ πατηρ προς τες δελες αυτε· Εξενεγκατε την στολην την πρωτην, κι ενδυσατε αυτον, και δοτε δακτυλιον εις την χειρα αυτε, και ὑποδηματα εις τες ποδας.

23 Και ενεγκαντες τον μόσχον τον σιτευτον θυσατε, και φαγοντες ευφρανθῶμεν·

24 Ὁτι οὗτος ὁ υἱος μου νεκρος ἦν, και ανεζησε· και απολωλως ἦν, και εὑρεθη. Και ηρξαντο ευφραινεσθαι.

25 Ἦν δε ὁ υἱος αυτȣ ὁ πρεσβυτερος εν αγρῷ· και ὡς ερχομενος ηγγισε τῇ οικιᾳ, ηκουσε συμφωνιας και χορῶν.

26 Και προσκαλεσαμενος ἑνα τῶν παιδων επυνθανετο τι ειη ταῦτα.

27 Ὁ δε εἶπεν αυτῷ· Ὁτι ὁ αδελφος σȣ ἥκει, και εθυσεν ὁ πατηρ σου τον μοσχον τον σιτευτον, οτι υγιαινοντα αυτον απελαβεν.

28 Ὠργισθη δε και ουκ ηθελεν εισελθεῖν· ὁ οὖν πατηρ αυτȣ̃ εξελθων παρεκαλει αυτον.

29 Ὁ δε αποκριθεις εἶπε τῷ πατρι· Ιδου, τοσαῦτα ετη δουλευω σοι, και ουδεποτε εντολην σου παρῆλθον, και εμοι ουδεποτε εδωκας εριφον, ἱνα μετα τῶν φιλων μȣ ευφρανθῶ.

30 Ὁτε δε ὁ υἱος σȣ οὗτος, ὁ καταφαγων σȣ τον βιον μετα πορνῶν, ἦλθεν, εθυσας αυτῷ τον μοσχον τον σιτευτον.

31 Ὁ δε εἶπεν αυτῷ· Τεκνον, συ

παντοτε μετ' εμου ει, και παντα τα ε-
μα. σα εστιν·

32 Ευφρανθῆναι δε και χαρῆναι εδει, ὁτι ὁ αδελφος σȣ οὗτος νεκρος, ἦν. και ανεζησε, και απολωλως ἦν, και εὑρεθη.

Κεφ. ιη. (XVIII.)

1 Ελεγε δε και παραβολην αυτοῖς προς το δεῖν παντοτε προσευχεσθαι και μη εκκακεῖν,

2 Λεγων· Κριτης τις ἦν εν τινι πολει τον Θεον μη φοβουμενος, και ανθρωπον μη εντρεπομενος.

3 Χηρα δε τις ἦν εν τῇ πολει εκεινη, και ἦρχετο προς αυτον λεγȣσα· Εκδικησον με απο τȣ αντιδικȣ μου.

4 Και ουκ ηθελησεν επι χρονον. Μετα δε ταῦτα εἶπεν εν ἑαυτῷ· Ει και τον Θεον ου φοβοῦμαι, και ανθρωπον ουκ εντρεπομαι·

5 Διαγε το παρεχειν μοι κοπον την χηραν ταυτην. εκδικησω αυτην, ἱνα μη εἰς τελος ερχομενη ὑπωπιαζῃ με.

6 Εἶπε δε ὁ Κυριος· Ακουσατε τι ὁ κριτης τῆς αδικιας λεγει.

7 Ὁ δε Θεος ου μη ποιησει την εκ-

δικησιν τῶν εκλεκτῶν αὐτῦ τῶν βοωντων προς αυτον ἡμερας και νυκτος και μακροθυμῶν επ' αυτοῖς;

8 Λεγω ὑμῖν ὅτι ποιησει την εκδικησιν αυτῶν εν ταχει· πλην ὁ υἱος τῦ ανθρωπῦ ελθων ἆρα εὑρησει την πιστιν επι τῆς γῆς;

9 Εἶπε δε και προς τινας τῦς πεποιθοτας εφ' ἑαυτοῖς ὅτι εισι δικαιοι, και εξυθενουντας τῦς λοιπους, την παραβολην ταυτην.

10 Ανθρωποι δυο ανεβησαν εις το ἱερον προσευξασθαι· ὁ εἷς Φαρισαῖος, και ὁ ἑτερος Τελωνης.

11 Ὁ Φαρισαῖος σταθεις προς ἑαυτον ταῦτα προσηυχετο· Ὁ Θεος ευχαριστῶ σοι, ὅτι ουκ ειμι ὥσπερ οἱ λοιποι τῶν ανθρωπων, ἁρπαγες, αδικοι, μοιχοι, η και ὡς οὗτος ὁ Τελωνης.

12 Νηστευω δις τοῦ σαββατῦ· αποδεκατῶ παντα ὅσα κτῶμαι.

13 Και ὁ Τελωνης μακροθεν ἑστως ὐκ ηθελεν ὐδε τους οφθαλμῦς εις τον ὐρανον επᾶραι· αλλ' ετυπτεν εις το στῆθος αὐτῦ λεγων· Ὁ Θεος ἱλασθητι μοι τῷ αμαρτωλῷ.

15 Λεγω ὑμῖν κατεβη οὗτος δεδικαιωμενος εις τον οἶκον αὐτῦ, η εκεῖνος· ὅτι

πᾶς ὁ ὑψῶν ἑαυτον ταπεινωθησεται· ὁ
δε ταπεινῶν ἑαυτον ὑψωθησεται.

15 Προσεφερον δε αυτῷ και τα βρε-
φη, ἱνα αυτῶν ἁπτηται· ιδοντες δε οἱ
μαθηται επετιμησαν αυτοῖς.

16 Ὁ δε Ἰησοῦς προσκαλεσαμενος αυ-
τα. εἶπεν· Αφετε τα παιδια ερχεσθαι
προς με. και μη κωλυετε αυτα· τῶν
γαρ τοιουτῶν εστιν ἡ βασιλεια τȣ Θεȣ.

17 Αμην λεγω ὑμῖν, ὃς εαν μη δε-
ξηται την βασιλειαν τȣ Θεȣ ὡς παιδιον,
ου μη εισελθη εις αυτην.

18 Και επηρωτησε τις αυτον αρχων
λεγων· Διδασκαλε αγαθε, τι ποιησας
ζωην αιωνιον κληρονομησω;

19 Εἶπε δε αυτῷ ὁ Ἰησοῦς· Τι με
λεγεις αγαθον; ȣδεις αγαθος, ει μη εἷς,
ὁ Θεος.

20 Τας εντολας οἶδας· Μη μοιχευ-
σῃς· Μη φονευσῃς· Μη κλεψῃς· Μη
ψευδομαρτυρησῃς· Τιμα τον πατερα σȣ
και την μητερα σȣ.

21 Ὁ δε εἶπε· Ταῦτα παντα εφυλα-
ξαμην εκ νεο τητος μȣ·

22 Ακȣσας δε ταῦτα ὁ Ἰησȣς, εἶπεν
αυτῷ· Ετι ἓν σοι λειπει· παντα ὅσα
εχεις πωλησον, και διαδος πτωχοῖς,
και ἕξεις θησαυρον εν ȣρανῷ· και δεῦρο,
ακολȣθει μοι.

23 'Ο δε ακȣσας ταῦτα. περ λυπος
εγενετο· ἦν γαρ πλουσιος σφοδρα.

24 Ιδων δε αυτον ὁ Ιησοῦς περιλυπον
γενομενον. εἶπε· Πῶς δυσκ λως οἱ τα
χρηματα εχοντες εισελευσονται εις την
βασιλειαν τȣ Θεȣ̃.

25 Ευκοπωτερον γαρ εστι καμηλον
δια τρυμαλιας ῥαφιδος εισελθεῖν η πλου-
σιον εις την βασιλειαν τοῦ Θεοῦ εισελ-
θεῖν.

26 Εἶπον δε οἱ ακȣσαντες· Και τις
δυναται σωθῆναι;

27 'Ο δε εἶπε· Τα αδυνατα παρα
ανθρωποις, δυνατα εστι παρα τῷ Θεῷ.

28 Εἶπε δε ὁ Πετρος· Ιδȣ. ἡμεῖς α-
φηκαμεν παντα. και ηκολȣθησαμεν σοι.

29 'Ο δε εἶπεν αυτοῖς· Αμην λεγω
ἡμῖν, ὅτι ουδεις εστιν ὃς αφῆκεν οικιαν,
η γονεῖς, η αδελφȣς, η γυναῖκα, η
τεκνα ἕνεκεν τῆς βασιλειας τȣ̃ Θεȣ̃.

30 Ος ου μη απολαβῃ πολλαπλασιο-
να εν τῷ καιρῷ τȣτῳ, και εν τῷ αιῶνι
τῷ ερχομενῳ ζωην αιωνιον.

31 Παραλαβων δε τȣς δωδεκα, εἶπε
προς αυτȣς· Ιδȣ αναβαινομεν εις 'Ιερο-
σολυμα, και τελεσθησεται παντα τα
γεγραμμενα δια τῶν Προφητῶν τῷ υἱῷ
τȣ̃ ανθρωπȣ.

32 Παραδοθησεται γαρ τοις εθνεσι,
και εμπαιχθησεται, και ὑβρισθησεται,
και εμπτυσθησεται.
33 Και μαστιγωσαντες αποκτενȣσιν
αυτον· και τῃ ἡμερα τῃ τριτῃ αναστη-
σεται.
34 Και αυτοι ουδεν τουτων συνῆκαν·
και ἦν το ῥῆμα τȣτο κεκρυμμενον απ'
αυτῶν, και ουκ εγινωσκον τα λεγο-
μενα.
35 Εγενετο δε εν τῷ εγγιζειν αυτον
εις Ἱεριχω, τυφλος τις εκαθητο παρα
την ὁδον προσαιτῶν.
36 Ακουσας δε οχλου διαπορευμενȣ,
επυνθανετο τι ειη τȣτο.
37 Απηγγειλαν δε αυτῷ, ὁτι Ιησοῦς
ὁ Ναζαραῖος παρερχεται.
38 Και εβοησε λεγων· Ιησȣ υἱε Δα-
βιδ, ελεησον με.
39 Και οἱ προαγοντες επετιμων αυτῷ
ἱνα σιωπηση· αυτος δε πολλῷ μαλλον
εκραζεν· Υἱε Δαβιδ, ελεησον με.
40 Σταθεις δε ὁ Ιησοῦς εκελευσεν αυ-
τον αχθῆναι προς αυτον. Εγγισαντος δε
αυτȣ επηρωτησεν αυτον.
41 Λεγων· Τι σοι θελεις ποιησω. Ὁ
δε εἶπε· Κυριε, ἱνα αναβλεψω.

42 Και ὁ Ιησῦς εἶπεν αυτῷ· Αναβλεψον· ἡ πιστις σου σεσωκε σε.
43 Και παραχρῆμα ανεβλεψε, και εκολεθει αυτῷ δοξαζων τον Θεον· και πᾶς ὁ λαος ιδων, εδωκεν αἶνον τῷ Θεῷ.

ΤΩ͂Ν
ΕΠΤΑ ΣΟΦΩ͂Ν,

Αποφθεγματα, συμβυλαι, και υποθῆκαι.

Κλεόβυλυ τῦ Εὐαγορυ, Λινδιυ.

ΑΡΕΤΗ͂Σ οἰκεῖον εστι, κακιδυ μισεῖν.

Φρονει τι κεδνον.

Α᾽μυσια το πλεον μερος ἐν βροτοῖς, λογωντε πληθος,

Τῆς ὑπονοιας ἀπεχε.

Φιληκοος ἴθι μᾶλλον, ἡ φιλολαλος· πολυμαθης, ἡ αμαθης·

Εὐσεβειαν φυλασσε,

Εὐχῆς οὐδεν εστι τιμιωτερον.

Πατερα δεῖ αἰδεῖσθαι.
Τȣς τεκοντας υπομονῆ νικα.
Τα δικαια κρῖνε.
Α'δικιαν μισει.
Πολει τα βελτιστα συμβȣλευε.
Ο' συ μισεῖς, ἑτερῳ μη ποιησης.
Α'γαπα τα τοῦ πλησιονσȣ, δε τηρει ὡς τα σαυτοῦ.
Βια μηδεν πρατε.
Ε'χθρας διαλυε.
Τον ε'λατω μη αποσκυβαλισης.
Α'λλοτριων μη επιθυμει.
Μαλιστα σωφρονεῖ ὁ δῆμος, ὁπȣ ταν ψογον μᾶλλον οἱ πολιτευομενοι δεδοικασιν, η τον νομον.
Δοκεῖ μαλιστ' ἀν ἐνδοξος γενεσθαι και βασιλευς, και τυρδυνος, εἰ μηδενι πιστευοι τῶν συνοντων.
Ψεῦδος μισειτω πᾶς φρονιμος, και σοφας.
Ψευδης καταβολη τον βιον λυμαινετα.
Γλῶσσαν εὐφημον κτῶ.
Κακολογιας απεχȣ.
Μη επιγελα τοῖς σκωπ7ομενοις. επεχθησῃ γαρ τȣτοις.
Εὖ το σῶμα ἀσκει, και την ψυχην.
Μη ῥιψοκινδυνος ἐσο.
Τον του δημȣ ε'χθραν, πολεμιαν νομιζε.

Τας μεταβολας τῆς τυχης γενναιας ἐπιστασο φερειν.

Εὐτυχῶν μεν, μη γινυ ποτε ὑπερηφανος· απορησας δε, μη ταπεινυ.

Ἡδονῆς κρατει.

Παντων μετρον ἀριστον.

Τυς ἀγαθυς ἀγαθα ποιει.

Τον φιλον δεῖ εὐεργετεῖν, ὁπως ἡ μαλλον φιλος· τον δε ἐχθρον φιλον ποιεῖν. Φυλασσεσθαι γαρ χρῆ, τῶν μεν φιλων τον ψογον, τῶν δε ἐχθρῶν την επιβυλην.

Εὐποιιας, ἧς ἐτυχες, μνημόνευε.

Οὗτος ἀριστος δοκεῖ οἶκος, εἰ πλειονας ἐχει τῶν φοβυμενων αὐτον τυς φιλῦντας ὁ δεσποτης.

Ὥσπερ ουκ ἀν ἐβυλυ ἐν νηι μακρᾷ και πολυχρυσω πλεων, βαπτιζεσθαι, ὑτω μηδε ἐν οἰκιᾳ αἱρυ ὑπερμεγεθει, και πολυτελεῖ καθημενος χειμαζεσθαι.

Τῆς οἰκιας ἐπιμελῦ.

Ὁταν τις ἐξιῃ τῆς οἰκιας, ζητειτω προτερον τι μελλει πρασσειν· και ὁταν τις εἰσελθῃ παλιν, ζητειτω τι ἐπραξε.

Γαμειν ἐκ τῶν ὁμοιων· ἀν γαρ ἐν τῶν κρειτονων λαβῃς, δεσποτας κτῆσῃ, ὑ συγγενεις.

Γυναικι μη φιλορρονῦ μηδε μαχυ ἀλ-

λοτριαν παροντων· το μεν γαρ, ’ανοιαν, το δε. μανιαν σημαινει.

Τα φιλτατα τεκνα παιδευε.

Δεῖ συνοικιζειν ἀνδρασι τας ἑαυτῶν θυγατερας. παρθενυς μεν την ἧλικιαν, το φρονεῖν δε γυναῖκας· ὁτι δεῖ παιδευεϑαι και τας παρϑενυς.

Ο’ικετυν παροινον μηκολαζε· δοξεις γαρ και αὐτος παροινεῖν.

Σολωνος Ε’ξηκεστιδου Σαλαμινιυ.

ΤΟΣΟΥΤΩ διαφερει ἡ φρονησις τῶν ἀρετῶν, ὁσῳ ὁρασις τῶν ἀλλων αἰϑησεων.

Α’ρετην ἐπαινει.

Νοει το δικαιον.

Θευς τιμα.

Χρῶ τοῖς Θεοῖς.

Γονεας αιδυ.

Ε’αν τις μη τρεφῃ τυς γονεας, ἀτιμος ’εστω.

Τῶν γονεων μη λεγε δικαιοτερα.

Ε’ρωτηϑεις. δια τι κατα πατροκτονυ νομον οὐκ ἐϑηκε, δια το ἀπελπισαι, ἐφη.

Ο’ρκῳ μη χρῶ.

Τοι σον πολεμον ὑ ποιεῖ.

Τα σπȣδαῖα μελετα.

Α'ληθειαν ἀνεχȣ.

Μη ψευδȣ. ἀλλ' ἀληθευε.

Τροπȣ καλοκαγαθιαν ὁρκȣ πιστοτεραν ἐχε.

Νȣν ἡγεμονα ποιȣ.

Εἰδως σιγα.

Σφραγιζȣ, τȣς μεν λογȣς σιγῇ, την δε σιγην καιρῷ.

Τα ἀφανῆ τοῖς φανεροῖς τεκμαιρȣ· ὁ δ' ἀν ἰδης, μὴ λεγε.

Ε'ρωτηθεις υπο Περιανδρȣ παρα ποτοῦ, ἐπει σιωπων ἐτυγχανε, ποτερα δια λογων σπανιν, ἡ δια μωριαν σιωπᾳ, ἀλλ' οὐδεις ἀν, εἶπε, μωρος σιωπᾶν ἐν συμποσιῳ δυναιτο.

Φιλȣς ευσεβει.

Φιλοις βοηθει.

Φιλȣς μη ταχυ κτῶ· ȣς δ' ἀν κτησῃ, μη ταχυ αποδοκιμαζε.

Η'δονην φευγε αὐτη γαρ λυπην τικτει.

Ο' μεν κορος ὑπο τοῦ πλȣτȣ γενναται, ἡ δε ὑβρις ὑπο τοῦ κορȣ.

Μη θρασυνȣ.

Μεδενι φθονει.

Τον τεθνηκοτα μη τις κακῶς ἀγορευετω.

Α'ρχε, πρῶτον μαθων ἀρχεσθαι· αρχεσθαι γαρ μαθων, ἀρχειν ἐπιστηση.

Μη τα ἡδιστα, ἀλλα τα βελτιστα τοῖς πολιταις συμβȣλευε.

Κριτης μη καθησο· εἰ δε μη, τῷ ληφθεντι 'εχθρος 'εση.

Μητε ἀρχετω ὁ σφοδρα νεος, μητε συμβȣλευετω, ει και ἀριστα δοκοιη γνωμης ἐχον.

Ε'ρωτηθεις, πῶς ἀν μη γιγνοιτο ἀδικημα 'εν τῇ πολει, ει ὁμοιως, 'εφη, ἀγανακτοῖεν τοῖς ἀδικȣμενοις οἱ μη ἀδικȣμενοι.

Ε'ρωτηθεις. ητις οικεῖται καλλιστα τῶν πολεων, 'εκεινη, εἶπεν, 'εν ᾗ τῶν ἀδικȣμενων ȣχ ἡτ]ον οἱ. μη ἀδικȣμενοι προβαλλονται, και κολαζȣσι τȣς ἀδικȣντας.

Ε'ρωτηθεις ὑπο τινος, πῶς ἀριστα αἱ πολεις. οικȣνται, εἶπεν, 'εαν οἱ μεν πολῖται τοῖς ἀρχȣσι πειθωνται, οἱ δε ἀρχοντες τοῖς νομοις.

Ε'κεινη ἀριστα πολις οικεῖται, ἐν ᾗ τȣς ἀγαθȣς ἀνδρας συμβαινει τιμᾶσθαι. και κακιστα δε, ἐν ᾗ τȣς κακȣς.

Ο'νειδιζομενος ποτε, ὁτι δικην 'εχων ἐμισθωσατο ῥητορα, και γαρ, ἐφη, ὁταν δεῖπνον ἐχω, μαγειρον μισθȣμαι.

Καλον μεν εστιν ἡ τυραννις χωριον, οὐκ εχει δ' αποβασιν.

Δοκεῖ μαλιστ' ἀν 'ενδοξος γενεσθαι και βασιλευς, και τυραννος, ει Δημοκρατιαν 'εκ Μοναρχιας κατασκευασειε τοῖς πολιταις.

Οἱ παρα τοῖς τυραννοις δυναμενοι, παραπλησιοι εἰσι ταῖς ψηφοις ταῖς 'επι τῶν λογισμων· δε γαρ 'εκεινων 'εκαστην, ποτε μεν πλειω σημαινειν; ποτε δε ἡτ7ω· δε τȢταν τȢς τυραννȢς ποτε μεν 'εκαστον μεγαν ἀγειν και λαμπρον, ὁτε δε 'ατιμον.

Τοῖς ϛεαυτου πρᾶος ἰσθι.

Οὗτος ἀριστος δοκεῖ ὁ οἶκος, ὁπȢ τα κτηματα, μητε κτωμενοις ἀδικα, μητε φυλατ7Ȣσιν ἀπιστα, μητε δαπανῶσι μετανοητα προσεστι.

Χιλωνος Δαμαγητȣ
Λακεδαιμονιȣ.

ΕΡΩΤΗΘΕΙΣ, τι ὁ Θεος 'ειη ποιῶν, τα μεν ὑψηλα ταπεινοῖ, τα δε ταπεινα ὑψοῖ, 'εφη.

Μη φθονει θνητα.

Μη 'επιθυμει ἀδυνατων.

Γῆρας τιμα.

Πρεσβυτερον σεβȢ.

Νομοις πειθȢ.

Σοφια χρω.

Η'θη δοκιμαζε.

Υ'φορω μηδενα.

Ε'ρωτηθεις, τινι διαφερουσιν οἱ πεπαιδευμενοι των ὑπαιδευτων, ἐλπισιν, ἐφη, αγαθαις.

Δυσκολον τοτα αποῤῥητα σιωπησαι, και χολην εὑ διαθεσθαι, και ἀδικȣμενον δυνασθαι φερειν.

Προς τον ἀδελφον δυσφορȣντα, ὁτι μη ευφορος ἐγενετο, ἀυτου 'οντος· ἐγω μεν γαρ, ἐφη, ἐπισταμαι ἀδικεισθαι, συ δε ȣ.

Δικαιας κτω.

Α'δικȣμενοις διαλλασσȣ.

Μισει διαβολας.

Α'ιχρα φευγε.

Φυλαττε σεαυτον.

Γνωθι σεαυτον.

Ε'ρωτηθεις, τι χαλεπωτατον, το γινωσκειν ἑαυτον, ἐφη· πολλα γαρ ὑπο φιλαυτιας ἑκαστον ἑαυτω προστιθεναι.

Ε'ν λιθιναις ἀκοναις ὁ χρυσος ἐξεταζεται, διδȣς βασανον φανεραν· ἐν δε χρυσω ἀνδρων ἀγαθων τε κακων τε νȣς εδωκεν ελεγχον.

Μη απειλει μηδενι· γυναικωδες γαρ.

Μη απειλει τοις ἐλευθεροις·

ȣ γαρ καλον.

Η' Γλῶσσα μη προτρεχετω του νȣ.

Γλωττης κρατει, δε μαλιστα 'εν συμποσιῳ.

Πινων μη πολλα λαλει· ἁμαρτησεις γαρ.

Μη κακολογει τȣς πλησιον· εἰδε μη, ἀκȣσῃ εφ' οἷς λυπηθησῃ.

Τόν τετελευτηκοτα μη κακολογει, ἀλλα μακαριζε.

Τον τα ἀλλοτρια περιεργαζομενον μισει.

Λυπȣμενȣ τινος ἐπι τοῖς αὐτου κακοῖς, εἶπεν. εἰ τα παντων κατανοησεις, ἧττον ἐπι τοῖς σεαυτου δυσφορησεις.

Ταχυτερον ἐπι τας ἀτυχιας τῶν φιλων, 'η ἐπι τας ευτυχιας πορευȣ.

Ε'πι τα δεῖπνα τῶν φιλων βραδεως πορευȣ, ἐπι δε τας ἀτυχιας ταχεως.

Δαπανωμενος ἐφ' ἁ μη δεῖ, 'ολιγος ἐσῃ ἐφ' ἁ δεῖ.

Α'τυχȣντι μη ἐπιγελα· κοινη γαρ ἡ τυχη.

Θυμȣ κρατει.

Ε'γκρατειαν 'ασκει.

Ζημιαν αἱρȣ μαλλον, 'η κερδος αιχρον· ἡ μεν γαρ ἁπαξ 'ελυπησε, το δε δια παντος.

Πλῦτος κακιας μᾶλλον, 'η καλοκαγαθιας ἐστιν ὑπηρετης.

Τι ἐστι πλῦτος; θησαυρος κανῶν. 'εφοδιον ἀτυχηματων, χορηγια πονηριας.

Πλῦτος ὑπο κακῆς ἐργασιας ἐπιγινομενος, ὑπιφανεστερον 'ονειδος· κεκτηται.

Χρονε φεῖδε.

Ε'ρημια χρῶ.

Μη ἦς 'επαχθης.

Πληθει 'αρεσκε.

Ι'σχυρος 'ων, πρᾶος ἴσθι, ὅπως οἱ πλησιον αἰδῶνται μᾶλλον, 'η φοβῶνται.

Ε'ν ὁδῷ μη σπεῦδε προαγειν.

Λεγων μη κινει την χεῖρα· μανικον γαρ.

Καλλιστος ἐστιν ὁ βασιλευς ὁ μη μονον του φοβερον εἶναι φροντιζων.

Η' μαλιστα νομων, ἥκιστα δε ῥητορων ἀκεεσα πολιτεια, ἀριστη ἐστι.

Δεῖ μαλιστα βασιλευομανη πολει προσεοικεναι τον οἶκον.

Γαμες εντελεῖς, και ἰσοτιμες ποιει.

Τῆς 'ιδιας οἰκιας καλῶς προστατει.

Πιττακε Υ'ῤῥαδιε,
Μιτυληναιε.

ΧΑΛΕΠΟΝ, 'εσθλὸν εἶναι, Πιστον οὐδεν.

Χαλεπον το εὖ γνῶναι.

Μηδεν 'αγαν.

Προς τον φασκοντα, δεῖν ζητεῖν ἀνθρωπον σπȣδαῖον, ἀν λιαν, ἐφη, ζητῆς, 'ȣχ ευρησεις.

Προ παντων σεβȣ το Θεῖον.

Εὐσεβειαν ἀσκει.

Γονεας αἰδȣ͂.

Κολακευειν γονεῖς μη 'οκνει.

Μη ἐριζε γονεῦσι, καν δικαια λεγῃς.

Παρακαλȣμενος ὑιῷ, και πατρι διαιτῆσαι, εἶπε, προς τον ὑιον. εἰ μεν ἀδικωτερα μελλεις λεγειν του πατρος. καταχριθησῃ εἰ δε δικαιοτερα, δια του το ἀξιος εἶ καταχριθεναι.

Συνετῶν ἀνδρῶν ἐστι, πριν γενεσθαι τα δυχερῆ, προνοῆσαι μη γενηται 'ανδρειων δε, γενομενε εὖ θεσθαι.

Προς τον πυνθανομενον, τι ἀφανες, το μελλον, ἐφη.

Ο' μελλεις πραττειν, μη προλεγε· ἀποτυχῶν γαρ γελασθησῃ.

Ο'λιγων ποτε αποτυγχανομενος, το ἡμισυ, ἐφη. του παντος πλεῖον ἐστι.

Φιληκοος ἐσο.

Διδασκε, και μανθανε το ἀμεινον.

Α'ληθειαν ἐχε, πιστιν, ἐμπειριαν, ἐπιδεξιοτητα, ἑταιρειαν, ἐπιμελειαν.

Ε'ρωτηθεὶς ποτε, τι ἀριστον, το παρον εὖ ποιεῖν, ἐφη.

Πιστον γῆ, ἀπιστον δε θαλασσα.

Μη προσδεχȣ το φαῦλον.

Μη πᾶσι πιστευε.

Τας νικας ἀνευ αἱματος δεῖ ποιεῖσθαι.

Παρακαταθηκην λαβων, δικαιας υποδος.

Ε'γγυα· παρα δ' ατη.

Μη σπεῦδε λαλῶν.

Προς τȣς πυνθανομανȣς, τι ευχαριστον, χρονος, ἐφη.

Φιλον μη λεγε κακῶς, ἀλλα μηδε ἐχθρον.

Α'νιαρον ἀργια, κακον ἀκρασια, βαρυ απαιδευσια.

Α'ργος μη ἰσθι.

Α'λκαῖον τον φονεα τοῦ υἱȣ̃, ὑποχειριον λαβων, και ἐχων ἐξȣσιαν τοῦ κολασαι αὐτον, ἀφῆκεν, εἰπων, ὁτι συγγνωμη τιμωριας ἀμεινον· το μεν γαρ, θηριωδȣς, το δε, ἡμερȣ φυσεως 'εστι σημεῖον.

Σωφροσυνην φιλει.

Γυναικος ἀρχε.

Α'νεχȣ ὑπο τῶν πλησιον μικρα ἐλαττȣμενος.

Κροισȣ διδοντος χρηματα, ȣ̓ δεξ μαι, εφη· ἐχω γαρ ὦν εβȣλομην διπλασια, ἀπαιδος τ' ἀδελφȣ̃ τελευτησαντος.

Α'τυχιαν, μη ονειδιζε, νεμεσιν αἰδȣμενος· μηδ' ἀν πλȣτῆς, την ευτυχιαν κρυπτε φθονȣ χαριν.

Τῷ μεθυοντι, ἐαν ἁμαρτη, διπλη ἐστω ἡ ζημια, ἱνα μη μεθυωσι, πολλȣ̃ οινȣ γενομενȣ.

Περι μεν φιλȣς ἰσθι βεβαιος· περι δε τȣς ἐχθρȣς ἀσφαλης.

Φιλων κριτης μη γινȣ.

Α'ρχη ἀνδρα δεικνυει.

Α'ναγκη οὐδε Θεοι μαχονται.

Ε'ρωτηθεις ὑπο Κροισȣ, τις ἀρχη μεγιστη, ἡ τοῦ ποικιλȣ, ἐφη, ξυλȣ, σημαινον τον νομον.

Πολις ἀριστα πραττει, ὁπȣ τοῖς πονηροῖς οὐκ ἐξεστιν ἀρχειν.

Δοκεῖ μαλιστα ἀν ενδοξος γενεσθαι ἀρχων, εἰ τȣς ὑπηκοȣς αὐτοι παρασκευασειε φοβεῖσθαι μη αὐτον, ἀλλ' ὑπερ αὐτοῦ.

Ω's ἀριστος οἶκος ἐστιν, ὁ τῶν περισσῶν μηδενος δεομενος, και τῶν ἀναγκαιων μηδενος ἐνδεομενος.

Θαλȣ τȣ Ε'ξαμιȣ,
Μιλησιȣ.

ΠΡΕΣΒΥΤΑΤΟΝ τῶν 'οντων Θεος· 'αγεννητον γαρ.

Ε'ρωτηθεις τι ἐστι το Θεῖον, το μητε ἀρχην, φησι. μητε τελος εχον.

Ε'ρωτηθεὶς, εἰ λαθοι το Θεῖον ἀνθρωπος πρασσων τι, και πῶς, εἶπεν, ὅς γε οὐδε διανοȣμενος;

Ε'ρωτηθεὶς, τι δυσκολον, ἐφη, το ἑαυτον γνῶναι· τι δε ευκολον, το αλλῳ ὑποτιθεσθαι.

Δεινον το συνειδεῖν το μελλον.

Ε'ρωτηθεις, ποσον απεχει το ψεῦδος του ἀληθȣς, ὁσον, ἐφη, 'οφθαλμοι 'ωτων.

Οἱȣς ἀν ἐρανȣς ἐνεγκῃς τοῖς γονεῦσι, τȣς αὐτȣς ἐν τῷ γηρᾳ παρα τῶν τεκνων προσδεχȣ.

Ε'ρωτηθεὶς, τις ευδαιμων, ὁ το μεν σῶμα ὑγιης, ἐφη, την δε ψυχην ευπαιδευτος.

Σοφωτατον χρονος· ἀνευρισκει γαρ παντα.

Ισχυροτατον ἀναγκη· κρατεῖ γαρ παντων.

Μεγιστον τοπος· ἁπαντα γαρ χωρεῖ.

Ταχιστον νȣς · δια παντος γαρ τρεχει.

Καλλιστον Κοσμος. ποιημα γαρ Θεȣ.

Φιλει την παιδειαν, οἰκονομιαν, τεχνην, εὐσεβειαν.

Κτησαι καλοκαγαθιαν.

Ε'πιμελȣ βιȣ.

Ε'παγγελλε μηδενι.

Ε'ρωτηθεις, πῶς ἂν ἀριστα, και δικαιοτατα βιωσαιμεν, ἐαν. ἐφη, ἃ τοῖς πολλοῖς ἐπιτιμῶμεν, αὐτοι μη δρῶμεν.

Δοκιμαζε φιλȣς.

Φιλων παροντων, και απαντων μεμνησο.

Ε'ρωτηθεις, πῶς ἀν τις ατυχιαν ῥᾶστα φεροι, εἰ τȣς ἐχθρȣς χεῖρον πρασσοντας βλεπει.

Α'πραγȣντα με 'ονειδιζε· ἐπι γαρ τȣτοις νεμεσις Θεῶν καθηται.

Τριῶν τȣτων ἑνεκα χαριν ἐχω τῇ τυχῃ, πρῶτον μεν, ὁτι ἀνθρωπος ἐγηνομην· και ȣ θηριον· εἶτα. ὁτι ἀνηρ. και ȣ γυνη · τριτον, ὁτι Ελλην, και ȣ Βαρβαρος.

Οὐδεν ἐφη τον θανατον διαφερειν του ζῆν συ ȣν, εφη τις. δια τι ουκ ἀποθνησκεις; ὁτι, ἐφη. οὐδεν διαφερει.

Α'γαπα τον πλησιον.

Κακιας ἀπεχȣ.

Ο'σα νεμεσεῖς τον πλησιον, αὐτα μη ποιει.

Καιρον γνῶθι.

Ο'μοιος σαυτῷ γινȣ.

Μη την οψιν καλλαπιζȣ, ἀλλ' εν τοῖς ἐπιτηδευμασιν ἰσθι καλος.

Θεραπειαν ζητει.

Εἰρηνην ἀγαπα.

Πολιτας μη θρασυνον.

Τοῖς ἐπιτηδειοις χρῶ.

Ε'ρωτηθεις. τι κοινοτατον. ἐλπις, ἀπεκρινατο· και γαρ οἷς ἀλλο μηδεν, αὐτη παρεσιν.

Εὐδαιμονιαν ἀρχοντος νομιζε, εἰ τελευτησει ἐγγηρασας κατα φυσιν.

Ε'ρωτηθεις, τι δυσκολον εἰη τεθεαμενος. γεροντα, εφη, τυραννον.

Τον κρατȣ̃ντα τιμα.

Πολις ἀριστα πραττει, ἡ μητε πλȣσιȣς ἐχȣσα ἀγαν, μητε πενητας πολιτας.

Α'ριστος δοκεῖ οἶκος, ἐν ᾧ πλειην ἀγειν τῷ δεσποτῃ χολην ἐξεστι.

Τῆς μητρος ἀναγκαζȣσης αὐτον γῆμαι, νη δια, ἐλεγεν, οὐδεπω καιρος· εἶτα ἐπειδαν παρηβησεν, ἐγκειμενης, ȣ̉κετι καιρος, εἶπεν.

Ψιθυρον ἀνδρα ἐκβαλε τῆς σῆς οἰκιας.

Βιαντος Ταυταμυ,
Πριηνεως.

ΠΕΡΙ Θεῦ παντοτε λεγε, ὡς εστι.

Ο', τι αν αγαθον πραττης, εἰς Θεον ἀναπεμπε.

Τοπων μεταβολαι ὔτε αφροσυνην ἀφαιρῦνται.

Νοει, και τοτε πραττε.

Α'κυε πολλα, λαλει 'ολιγα.

Συμπλεὼν ποτε ἀσεβεσι, χειμαζομενης τῆς νεως, κα'κεινον τυς Θευς ἐπικαλυμενων, σιγᾶτε, ἐφη, με αἰσθωνται ὑμᾶς ἐνθαδε πλεοντας.

Ε'ρωτηθεις ὑπο 'ασεβῦς 'ανθρωπυ, τι ποτε εστιν ευσεβεια, ἐσιγα· τῦ δε την αἰτιαν τῆς σιγῆς πυθομενυ, σιωπῶ, εφη, ὁτι περι τῶν οὐδεν σοι προσηκοντων πυνθανη.

Τῷ υἱεῖ προς Αἰγυπτιυς ἀπαιροντι και πυνθανομενῳ, τι 'αν ποιῶν αὐτῷ μαλιστα κεχαρισμενα πραττοι, ἐφοδιον. εφη, προς γῆρας κτησαμενος, την 'αρετην δηλαδη το εφοδιον λεγων.

Ε'φοδιον ἀπο νεοτητος εἰς γῆρας 'αναλαμβανε, σοφιαν· βεβαιοτερον γαρ τῦτο τῶν 'αλλων κτηματων.

Φρονησιν 'αγαπα.

Κτῆσαι ἐν μεν νεοτησι ευπραξιαν, εν δε γηρα σοφιαν.

Ο'πλατικος μητε εν τοῖς τεθνηκοσιν εστι, μητ' εν τοῖς βιῦσι.

Θεωρει ὥσπερ ἐν κατοπτρῳ τας σαυτῦ πραξεις. ινα τας μεν καλας 'επικοσμῇς, τας δε αἰσχρας καλυπτῃς.

Ε'ξεις 'εργῳ μνημην, καιρῷ ευλαβειαν, τροπῳ γηνναιοτητα, πονῳ ἐγκρατειαν, φοβῳ ευσεβειαν, πλετῳ φιλιαν, λογω πειθω, σιγῇ κοσμον, γνωμῃ δικαιοσυνην, τολμῃ 'ανδριαν, πραξει δυναστειαν, δοξῃ ἡγεμονιαν.

Ερωτηθεις, τι 'αν 'ειη τῶν κατα τον βιον 'αφοβον, εἶπεν, ὀρθη συνειδησις.

Α'σκει καλοκαγαθιαν.

Οἱ πλεῖστοι 'ανθρωποι κακοι.

Φιλει ὡς μισησων.

Μη ευηθης ἰσθι, μητε κακοηθης.

Α'γαθοι ευαπατητοι.

Πεισας λαβε, μη βιασαμενος.

Βραδεως εγχειρει τοῖς πραττομενοις· εγχειρησας δε, πραττε βεβαιως.

Η'διον εστι δικαζειν μεταξυ εχθρῶν, η' φιλον· τῶν μεν γαρ φιλων παντως 'εχθρον ἐσεσθαι τον 'ετερον, τῶν δε εχθρῶν τον ἑτερον φιλον.

Α'ναξιον 'ανδρα μη ἐπαινει.

Νοσος ψυχῆς, το τῶν ʼαδυνατων ἐρᾶν, ʼαλλοτριων δε κακῶν ʼαμνημονευτον εἶναι.

Το μεν ἰσχυρον γηνεσται, τῆς φυσεως εργον· το δε λεγειν δυνασται τα συμφεροντα τῆ πατριδι, ψυχῆς ἰδιον, και φρονησεως· ευποριαν δε χρηματων πολλοῖς και δια τυχην περιγινεσθαι.

Μη ταχυ λαλει· μανιαν γαρ εμφαινει.

Ε'ρωτηθεις, τι γλυκυ ʼανθρωποις, ελπις, εφη.

Ε'ρωτηθεις, τι ποιῶν ʼανθρωπος τερπεται, εφη, κερδαινων.

Θεασαμενος μαχαιραν ἐῤῥιμμενην, εφη, τις σε απωλεσεν, ʼη τινα συ;

Ο' αὐτος ερωτηθεις. ποῖος τῶν θανατων κακος, εφη, ὁ ἀπο τῶν νομων επαγομενος.

Ε'ρωτηθεις, τι δυσχερες, την ἐπι το χεῖρον, εφη, μεταβολην ευγενῶς ενεγκεῖν.

Α'τυχης εστιν ὁ μη ʼατυχιαν φερων.

Πενης ʼων, πλȣσιοις μη επιτιμα, ην μη μεγα ʼωφελῆς.

Α'φροσυνην μη προσδεχȣ.

Τον Βιον ȣ̔τως μετρει, ὡς και πολυν, και ʼολιγον χρονον βιωσομενος.

Θανατω μελλων καταδικαζειν, εδακρυσεν· οἱποντος δε τινος, τι παθων αὐτος καταδικαζεις, και κλαιεις, εἶπεν, ὁτι ἀναγκαῖον ἐστι, τῇ μεν φύσει το συμπαθες ἀποδȣναι, τῷ δε νομω την ψῆφον.

Ε'νδοξος μαλιστα ἀν δοκῇ γενεσθαι βασιλευς, εἰ πρῶτος χρῷτο τοῖς νομοις τῆς πατριδος.

Α'ριστος δοκεῖ οἶκος, ἐν ᾧ τοιȣτος 'εστιν ὁ δεσποτης δἰ αὐτον, οἷος 'εξω δια νομον.

Περιανδρȣ Κυψελȣ,
Κορινθιȣ.

ΜΕΛΕΤΑ το πᾶν.
Ε'λπιδας νεμε.
Εὐσεβειας 'εχȣ.
Θνητα φρονει.
Μυστηριον κρυπτε.
Α'ποκρινȣ 'εν καιρῷ.
Λογων ὑποῤῥηταν 'εκφοραν μη ποιȣ.
Σοφοῖς χρῶ.
Α'ληθειας 'εχȣ.
Α'κȣε τα προσηκοντα.
Τίȣς παιδευε.
Σ'αυτον παρασκευαζε τῶν γονεων 'αξιον.

Πρεσβυτερον αἰσχυνε.

Α'μαρτων μεταβελευε.

Ε'ρωτηθεις, τι μεγιστον 'εν ελαχιστῳ, εἶπε, φρενες 'αγαθαι 'εν σωματι 'ανθρωπε.

Αἱ μεν ἡδοναι θνηται, αἱ δ' ἀρεται ἀθανατοι.

Ε'ρωτηθεις, τι 'εστιν 'ελευθερια, εἶπεν, 'αγαθη συνειδησις.

Πραττε δικαια.

Το δικαιόν μιμε.

Πραττε ἀμεταμελητα.

Καιρον προσμενε.

Υ'βρειν μισει.

Θνῆσκε ὑπερ πατριδος.

Μη πιστευε χρονῳ.

Μη λαλει προς ἡδονην.

Φιλοις χρῶ.

Εὐφραινε φιλες.

Φιλοις ευτυχεσι, και ἀτυχεσιν ὁ αὐτος ἴσθι.

Εὐεργετας τιμα.

Χαριν αποδος.

Κακολογιας απεχε.

Μη 'επι παντι λυπε.

Μηδεν χρηματων ἑνεκα πραττε· δεῖ γαρ τα κερδαντα κερδαινειν.

Κερδος αἰσχρον, κακιστον, φυσεως κατη-

γορια, βαρυ κειμηλιον.

Ε'πι νεκρῷ μη γελα.

Διαβολην μισει.

Ζῶν μεν 'επαινῦ, αποθανων δε μακαριζε

Φειδομενον κρεῖττον αποθανεῖν, 'η ζῶντα 'ενδεῖσθαι.

Λυπην φυλαττε.

Σ'αυτῦ μη ἀμελει.

Ε'ριν μισει.

Α'γαθες τιμα.

Ε'παινει τα καλα.

Μη 'επαιρε 'επι δοξη.

Ε'λπιζε ὡς θνητος, φειδε ὡς 'αθανατος.

Πᾶσιν 'αρεσκε.

Πᾶσιν αποστρεφε.

Ο'μονοιαν διωκε.

Εὐπροσηγορος γενε.

Καλον ἡσυχια, 'επισφαλες προπετεια.

Ι'κετας 'ελεει.

Τες ἡγεμονας φοβῦ.

Ο' 'αν ὁμολογησῃς, διατηρει:

Ο'φθαλμῶν κρατει.

Αἰσχυνην φεῦγε.

Εὐτυχῶν μεν, μετριος ἰσθι· δυστυχῶν δε, φρονιμος.

Α'τυχιαν κρυπτε, ἱνα μη τες 'εχθρες εὐφρανῃς.

Τοῖς μεν νομοις παλαιοῖς χρῶ, τοῖς δε οψοις προσφατοις.

Μη μονον τȣς ἁμαρτανοντας. κολαζε 'αλλα και τȣς μελλοντας κωλυε.

Συμβȣλευε 'αναιτιας.

Εἶκε μεγαλοις.

Α'ρχȣσιν εἶκε.

Δημοκρατια κρειττων τυραννιδος.

Πολις 'αριστα πραττει, 'εν ᾗ τῶν ἀλλων ἰσων νομιζομενων, 'αρετη το βελτιον ὁριζεται, κακια δε το χειρον.

Τους μελλοντας 'ασφαλῶς τυραννησειν δει τῇ ευνοιᾳ δορυφορεῖσθαι, και μη τοῖς ὁπλοις.

Ε'ρωτηθεις, δια τι οὐκ αποτιθεται την 'αρχην, εἶπεν, ὁτι τῷ κατ' 'αναγκην 'αρχοντι και το ἑκȣσιως αποστῆναι κινδυνον φερει.

Α'ηδων, και Ι'εραξ.

Α'Ηδων ἐπι δενδρυ καθεζομενη, κατα το εἰωθος ᾖδεν. Ι'εραξ δε θεασαμενος, και Τροφῆς ἀπορῶν, συνειληφεν 'επιπτας. Η' δ' 'ανερειθαι μελλυσα, 'εδεῖτο τυ Ι'ερακος μη βρωθῆναι, μη δε γαρ ἱκανην εἶναι ἱερακος γαστερα πληρουν· δεῖν δε αὐτον Τροφῆς προσδεομενον, 'επι τα μειζω τῶν 'ορνεων τραπεσθαι. Και ὁ Ι'εραξ ὑπολαβων εἶπεν. ἀλλ' 'εγωγε 'αφρων ''αν εἰην, εἰ την ἐν χερσιν 'ατοιμην τροφὴν 'αφεις, τα μη φαινομενα πω διωκοιμι.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, ὅτι και τῶν 'ανθρωπων 'υτως ἀλογιστοι εἰσιν, οἱδὶ ἐλπιδα πλειονων 'αδηλων, τα ἐν χερσι προιεμενοι.

Α'λωπηξ, και Τραγος.

Α'Λωπηξ και Τραγος διψῶντες εἰς φρεαρ κατεβησαν. μετα δε το πιεῖν, τυ τραγυ σκεπτομενυ την 'ανοδον, ἡ 'αλω-

πηξ 'εφη· Θαρσει, χρησιμον τι και εἰς την 'αμφοτερων σωτηριαν 'επινε νοηκα. Ἡ γαρ 'ορθιος σταθεις, τȣς 'εμπροσθιȣς των ποδων τῷ τοιχῳ προσερεισεις, και τα κερατα ἐμοιως εἰς τουμπροσθεν κλινεις 'αναδραμȣσα δια των σων αὐτη νωτων και κερατων ἐξω τȣ φρεατος 'εκειθεν πηδησασα, και σε μετα τȣτο 'ανασπασω 'εντευθεν. Τȣ δε τραγȣ προς τȣτο ἑτοιμως ὑπηρετησαμενȣ, 'εκεινη τȣ φρεατος ȣτως 'εκπηδησασα, 'εσκιρτα περι το στομιον ἡδομενη. Ο' δε τραγος αὐτην 'εμεμφετο, ὡς παραβαινȣσαν τας συνθηκας. Η' δ' 'αλλ' εἰ τοσαυτας εἰπε φρενας 'εκεκτησο, ὁποσας 'εν τῷ πωγωνι τριχας, ȣ προτερον 'αν κατεβης, πριν 'η την 'ανοδον σκεψασθαι.

Ε'πιμυθιον.

Ο' μυθος δηλοι. ὁτι ȣτω δε τον φρονιμον 'ανδρα δει προτερον τα τελη σκοπȣντα των πραγματων, εἰθ' ȣτως αυτοις 'εγχειρειν.

Α'λωπηξ, και Λεων.

Α'Λωπηξ μηπω θεασαμενη Λεοντα, ἐπειδη κατα τινα τυχην αὐτῷ συνηντησε,

το μὲν πρῶτον ὅτως ἐφοβηθη, ὡς μικρὲ και ἀποθανεῖν. Ἐπειτα το δευτερον θεασαμενη, ἐφοβηθη μεν, ἐ μην ὡς το προτερον. Ἐκ τριτε δε τῦτον θεασαμενη, ὅτως αὐτε κατεθαῤῥησεν, ὡς και προσελθῦσα διαλεχθηναι.

Ἐπιμυθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἡ συνηθεια τα φοβερα τῶν πραγματων ευπροσιτα πειεῖ.

Αἴλϐρος, και Ἀλεκτρυων.

Αἴλϐρος συλλαβων Ἀλεκτρυονα, μετ' ευλογε τῦτον αἰτιας ἠβϐληθήκατα φαγεῖν. Και δη κατηγορει αὐτε, λεγων, ὡς ὀχληρος εἴη τοῖς ἀνθρωποις, νυκτωρ κεκραγως. και μη συγχωρῶν ὕπνε τυγχανειν. Τε δ' ἀπολογεμενε, ἐπι τῇ ἐκειγων ὠφελεια τῦτο ποιεῖν, ὡς ἐπι τα συνηθη τῶν ἐργων ἐγειρεσθαι· παλιν ὁ αἴλϐρος αἰτιαν ἐπεφερεν, ὡς ἀσεβης εἴη περι την φυσιν. μητρι και ἀδελφαῖς συμμιγνυμενος. Τε δε, και τῦτο προς ὠφελειαν τῶν δεσποτῶν πραττειν, φησαντος, πολλῶν αὐτοῖς ἐντεῦθεν ὠῶν τικτομενων, ὁ αἴλϐρος εἰπων, ἀλλ' εἰ συγε πολλῶν

ευπορεῖς ευπροσωπων ἀπολογιῶν, ἐγωγε μεν τοι ἀτροφος ἐ μενῶ· τοῦτον κατεθοινησατο.

Ε'πιμυθιον.

Ο' μυθος δηλοῖ, ὑτι ἡ πονηρα φυσι. πλημμελεῖν αἱρεμενη, ει μη μετ' εὐλογε δυνηθειη προχιματος, ἀπαρακαλυπτας γεμην πονηρευεται.

Α'λωπεκες.

Α'Λωπηξ ἐν παγιδι ληφθεῖσα και ἀποκοπεισης τῆς ἐρᾶς διαδρᾶσα, ἀβιωτον ὑπ' αἰσχυνης ἡγεῖτο τον βιον. Ε'γνω ἐν και τας ἀλλας ἀλωπεκας τετ' αὐτο νεθετῆσαι, ὡς ἀν τῷ κοινῷ παθει το ἴδιον συγκαλυψειεν αἶχος. Και δη πασας ἀθροισασα, παρῄνει τας ἐρας ἀποκοπτειν, ὡς ἐκ ἀπρεπες μονον τετο το μελος ὀν, ἀλλα και περιττον βαρος προσηρτημενον. Υ'πολαβεσα δετις αὐτῶν εἰπεν· ὠ αὐτη, ἀλλ' εἰ οὐ σοι τετο προτεφερεν, οὐ ἀν ἡμῖν αὐτο συνεβουλευες.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, ὁτι οἱ πονηροι τῶν ἀνθρωπων, οὐ δι' εὐνοιαν τας προς τες

πελας ποιοῦνται συμβȣλιας: δια δε το αὐτοῖς συμφερον.

Α' Λαπηξ, και Βατος.

Α 'Λαπηξ φραγμον ἀναβαινȣσα, ἐπειδε 'ολιϑησασα καταπιπτειν ἐμελλεν. ἐπελαβετο προς βοηϑειαν βατȣ. Καὶ δε τȣς ποδας ἐπι τοῖς ἐκεινης κεντροις αἱμαξασα, και ἀλγησασα, προς αὐτην εἶπεν οἴμοι, καταφυγȣ͂σαν με γαρ ἐπι σε ὡς ἐπι βοηϑον. συ χεῖρον διεϑηκας. Α'λλ' ἐσφαλης ὦ αὑτη, φησιν ἡ βατος. εμοῦ βȣληϑεῖσα επιλαβεϑαι, ἥτις παντων επιλαμβανεϑαι εἰωϑα.

Ε'πιμυϑιον.

Ο' μῦϑος δηλοῖ. ὁτι οὑτω και τῶν ἀνθρωπων ματαιοι, ὁσοι βοηϑοῖς προστρεχοσιν, οἷς το ἀδικεῖν μᾶλλον εμφυτον.

Α'λαπηξ, και Κροκοδειλος.

Α 'Λαπηξ, και Κροκοδειλος 'ημφισβητουν περι ευγενειας. Πολλα δε τȣ͂ Κροκοδειλȣ ὑπερηφανα περι τῆς τῶν προγονων διεξιοντος λαμπροτητος, ὡς γεγυμνασιαρχηκοταν, ἡ Α'λαπηξ ὑπολαβοῦσα, ὦταν εἶπεν· ἀλλα κἀν μησυ λεγῃς,

ἀλλ' ἀπο του δερματος γε φαινη, ὡς εκ παλαιων ετων ει γεγυμνασμενος.

Ε'πιμυθιον.

Ο' μυθος δηλοι, ὀτι των ψευδομενων ἀνδρων ελεγχος τα πραγματα γινεται.

Α'λεκτρυονες, και Περδιξ.

Α'Λεκτρυονας τις εχων επι της οἰκιας, πριαμενος και Περδικα, συν εκεινοις ἀφηκε νεμεσθαι, των δε τυπτοντων αὐτον, και ἀπελαυνοντων. εκεινος ἠθυμει σφοδρα, νομιζων ὡς ἀλλοφυλος ταυτα πασχειν ὑπο των ἀλεκτρυονων, ὡς δε κατα μικρον κἀκεινους εωρακε μαχομενους, και ἀλληλους κοπτοντας, της λυπης ἀπολυθεις, εἰπεν αλλ' εγωγε ἀπο του νυν οὐ λυπησομαι, ὁρων και αὐτους μαχομενους ἀλληλοις.

Ε'πιμυθιον.

Ο' μυθος δηλοι, ὁτι οἱ φρονιμοι ῥαδιως φερουσι τας παρα των ἀλλοτριων ὑβρεις, ὁταν αὐτους ἰδωσι μη δε των οἰκειων ἀπεχομενους.

Α'λώπηξ.

Α'Λώπηξ εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ, καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνομένη, εὗρε καὶ κεφαλὴν μορμολυκίου εὐφυῶς κατεσκευασμένην. ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν, ἔφη. ὢ οἵα κεφαλὴ, καὶ ἐγκέφαλον οὐκ ἔχει.

Ε'πιμύθιον.

Ο' μῦθος πρὸς ἄνδρας μεγαλοπρεπεῖς μὲν τῷ σώματι, κατὰ δὲ ψυχὴν ἀλογίστους.

Α'νθρακεὺς, καὶ Κναφεύς.

Α'Νθρακεὺς ἐπί τινος οἰκῶν οἰκίας, ἠξίου καὶ Κναφέα παραγενόμενον αὐτῷ συνοικῆσαι. Ο' δὲ κναφεὺς ὑπολαβὼν ἔφη. ἀλλ' οὐκ ἂν τοῦτο δυναίμην ἔγωγε πρᾶξαι. Δέδια γὰρ, μήπως ἅπερ ἐγὼ λευκαίνω, αὐτὸς ἀσβόλης πληροῖς.

Ε'πιμύθιον.

Ο' μῦθος δηλοῖ, ὅτι πᾶν τὸ ἀνόμοιον ἀκοινώνητον.

Α'λιεῖς.

Α'Λιεῖς εἶλον σαγηνην. βαρειας δε αὐτῆς οὐσης, εχαιρον και εσκιρτάν, πολλην εἶναι την αγραν νομιζοντες. Ω'ς δ' επι τῆς 'ηιονος ταυτην ελκυσαντες. τῶν μεν ἰΧθυων εὗρον ολιγυς, λιθον δ' εν αὐτῆ παμμεγεθη.. αθυμεῖν 'ηρξαντο, και αλυειν, ὓ τοσοῦτον επι τῆ ἰχθυον 'ολιγοτητι, οσον οτι και τ' ἀναντια πρυπειληφασιν. εἶς δε τις εν αὐτοῖς πρέσβυτερος εἶπε. μη αχθωμεθα ὦ εταῖροι· τῆ γαρ 'ηδονῆ ὡς εοικεν, 'αδελφη εστιν 'η λυπη και 'ημᾶς ουν εδει τοσαῦτα προηδυνθεντας, παντως τι και λυπηθῆναι.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοι, ὅτι οὐ δεῖ λυπεῖθαι επι ταῖς αποτυχιαις.

Κομπαστης.

Α'Νηρ τις 'αποδημησας, εἶτα δε παλιν προς την εαυτῦ γῆν επανελθαν, αλλα τε πολλα εν διαφοροις ηνδραγαθηκεναι χωραις εκομπαζε, και δη καν τῆ Ροδῳ πεπηδηκεναι πηδημα, οἷον ὓδεὶς

τῶν ἐπ' αὐτοῦ δυνατος ἂν εἴη πηδῆσαι. Προς τῦτο δε και μαρτυρας τῦς ἐκεῖ παροντας ἔλεγεν ἔχειν. Τῶν παροντων δε τις ὑπολαβων, ἐφη. Ω' ῦτος, εἰ ἀληθές τῦτ' ἐστιν, οὐδεν δεῖ σοι μαρτυρων. Ι'δῦ Ῥοδος, ἰδου και το πηδημα.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, ὁτι ἐαν μη προ χειρος ἡ του πραγματος ἀποδειξις ᾖ, πᾶς λογος περιττος ἐστι.

Α' δυνατα ἐπαγγελλομενος.

ΑΝηρ πενης νοσῶν, και κακῶς διακειμενος, ἐπειδη προς τῶν ἰατρῶν ἀπεγνωθη, τῶν Θεῶν ἐδεῖτο, ὡς εἰ την ὑγιειαν αὐτῷ παλιν ἐπανελθεῖν ποιησειαν, ἑκατον βοας αὐτοῖς προσοισειν ὑπισχνουμενος εἰς θυσιαν. Τῆς δε γυναικος αὐτῦ πυθομενης, και πῦ σοι ταῦτα, ἢν ὑγιανῃς; ἐκεῖνος ἐφη. Ο'ει γαρ ἀναστῆναι με ἐντεῦθεν, ἱν' οἱ θεοι ταῦτα με ἀπαιτησωσι;

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, ὅτι πολλοι ῥᾳδιως κατεπαγγελλενται, απερ τελεσαι ἐργῳ οὐ προσδοκῶσι.

Κακοπραγμων.

Α'Νηρ κακοπραγμων εἰς τον ἐν Δελφοῖς ἧκεν Α'πολλωνα, πειρᾶσαι τῦτον βϐλομενος. Και δη λαβων στρϐθιον ἐν τῇ χειρι, και τῦτο τῇ ἐσθῆτι σκεπασας, ἐστη τε τοῦ τριποδος ἐγγιστα, και ηρετο τον Θεον, λεγων. Α'πολλον, ο μετα χεῖρας φερω, ποτερον ἐμπνουν, ἐστιν, η ἀπνουν βϐλομενος, ωσ ει μεν απνϐν ειποι, ζῶν αναδεῖξαι το στρϐθιον· εἰ δ' ἐμινουν, ευθυς ἀποπνιξας, νεκρον ἐκεῖνο προενεγκεῖν. Ο' δε γε Θεος την κακοτεχνον αὐτϐ γνϐς ἐπινοιαν, εἰπεν. ὁποτερον ω̃ οὗτος βουλει ποιῆσαι, ποιησον. παρα σοι κεῖται γαρ τοῦτο πρᾶξαι, 'ητοι ζῶν ο κατεχεις, 'η νεκρον ὑποδεῖξαι.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ. ὅτι το θεῖον ἀπαραλογιστον, και ἀλαθητον.

Α'λιεῖς.

Α'Λιεῖς ἐξελθοντες εἰς ἀγραν, ἐπειδη πολυν χρονον ταλαιπωρησαντες, ὀυδεν εἶλον, σφοδρα τε 'ηθυμουν. και ἀναχωρῆσαι παρεσκευαζοντο, ευθυ δε Θυννος ὑπο των μεγιστων διωκομενος ἰχθυων, εἰς το πλοῖον αὐτῶν εἰσηλατο οἱ δε τουτον λαβοντες, μεθ ἡδονῆς 'ανεχωρησαν.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, ὁτι πολλακις 'α μη τεχνη παρεχε, ταῦτα τυχη ἐδωρησατο.

Φεναξ.

Α'Νηρ πενης νοσῶν, 'ηυξατο τοῖς Θεοῖς, εἰ διασωθειη. βοῦς εκατον εἰς θυσιαν προσοισειν· Οἱ δε Θεοι πειρᾶσαι τουτον βουλομενοι, του πάθους 'απηλλαξαν, Ο' δ' αναστας. ἐπειδη βοῶν 'ηπορει, στεατινους βοῦς ἑκατον πλασας, ἐπι του βωμου θεις ὠλοκαυτωσεν Οἱ δε θεοι βουλομενοι αὐτον 'αμυνασθαι. οναρ ἐπιστα ντες αὐτῷ εἶπον· ἀπελθε εἰς τον αἰγιαλον εἰς τον δε τον τοπον, ἐκεῖ δε 'αττικας δραχμας χιλιας ευρησεις. Ε'κεῖ-

νος δε διυπνισθεις. συν ἡδονῇ και σπεδῇ προς τον ὑποδειχθεντα τοπον 'αφικετο, το χρυσιον διερευνων. Ε'κει δε δη πειραταις περιτυχων, ὑπ' αὐτων συνεληφθη. Α'λες δε ηδη, 'αφεθηναι των πειρατων ἐδειτο, χιλια χρυσε ταλαντα δωσειν αὐτοις ὑπισχνεμενος. Ω's δ' οὐκ ἐπιστευετο, 'απαχθεις ὑπ' αὐτων, 'απεμπωλησθη χιλιων δραχμων.

Ε'πιμυθιον.

Ο' μυθος δηλοι, ὁτι τοις ψευδεσι των 'ανθρωπων ἐχθραινει το Θειον.

Βατραχοι.

Βατραχοι δυο ἐν λιμνη ἐνεμοντο, θερες δε ξηραν θεισης της λιμνης, εκεινην καταλιποντες, ἐπεζητεν ἑτεραν. Και δη βαθει περιετυχον φρεατι, ὁπερ ἰδων ατερος, θατερῳ φησι. συγκατελθωμεν ὠ ὗτος εἰς τοδε το φρεαρ. Ο' δε ὑπολαβων εἰπεν. 'αν ουν και το ἐνθαδε ὑδωρ ξηρανθῇ, πως 'αναβησομεθα.

Επιμυθιον.

Ο' μῦθος δηλοῖ, ὁτι οὐ δεῖ 'απεριτκεπτως προσιεναι τοῖς πραγμάσι.

Γερων, και Θανατος.

ΓΕ'ρων ποτε ξυλα τεμων ἐξ ὀρυς. κα-πι των ὠμων 'αραμενος, επειδη πολλην ὁδον ἐπηχθισμενος ἐβαδισεν, 'απειρηκως, ἀπεθετο τε τα ξυλα, και τον θανατον ἐλθεῖν ἐπεκαλεῖτο. Τῦ δε θανατυ ευθυς ἐπισταντος, και την αἰτιαν πυνθανομενου, δἰ ην αὐτον καλοιη, ὁ γερων ἐφη, ἱνα τον φορτον τῦτον 'αρας, ἐπιθῆς μοι.

Επιμυθιον.

Ο' μῦθος δηλοῖ, ὁτι πᾶς 'ανθρωπος φιλοζωος 'ων, καν μυριοις κινδυνοις περιπεσων δοκῆ θανατυ ἐπιθυμεῖν, ὁμως το ζην πολυ προ τῦ θανατυ αἱρεῖται.

Γραῦς, και Ι'ατρος.

ΓΥνη γραῦς 'αλγοῦσα τους οφθαλμυς, εισκαλεῖται τινα τῶν Ι'ατρῶν επι μισθῷ, συμφωνησασα. ὡς ει μεν θεραπευσειεν αὐτην, τον ὁμολογηθεντα μισθον αὐτῷ δω-

σειν. ει δε μη, μηδεν δωσειν. Ε'νεχειρησε μεν ουν ὁ ιατρος τῃ θεραπεια. καθ' ἡμεραν δε φοιτων ως την πρεσβυτην, και τυς οφθαλμυς αυτῃ χριων, εκεινης μηδαμως 'αναβλεπειν εχουσης την ωραν εκεινην ὑπο τυ χρισματος, αὑτος εν τι των της οικιας σκευων ὑφαιρυμενος, ὁσημεραι απῃει. Η'μεν ουν γραυς την ἑαυτης περιυσιαν ἑωρα καθ' ἑκαστην ελαττυμενην επι τοσουτον, ὡς και τελος παντα πασιν αὑτῃ θεραπευθειση μηδεν ὑπολειφθηναι. Τυ δε ιατρυ τυς συμφωνηθεντας μισθους αυτην απαιτυντος, ὡς καθαρως βλεπυσαν 'ηδη, και τυς μαρτυρας παραγαγοντος. Μαλλον μεν ουν ειπεν εκεινη, τα νυν υδοτιυν βλεπω. Η'νικα μεν γαρ τυς οφθαλμους ἑνοσυν, πολλα των εμων κατα την εμαυτης εβλεπον οικιαν. νυν δ' οτε με συ βλεπειν φης, υδοτιουν εκεινων ορω.

Ε'πιμυθιον.

Ο' μυθος δηλοι, οτι οἱ πονηροι των ανθρωπων εξ ὡν πραττυσι, λανθανυσι, καθ' ἑαυτων τον ελεγχον επισπωμενοι.

Γεωργος, και παιδες αυτȣ.

ΓΕωργος τις μελλων καταλυειν τον βιον και βȣλομενος τȣς ἑαυτȣ παιδας πειραν λαβειν της γεωργιας, προσκαλεσαμενος αυτȣς. ἐφη. παιδες ἐμοι, ἐγω μεν ηδη τον βιον ὑπεξειμι. ὑμεις δ' ἁπερ ἐν τῃ ἀμπελῳ μοι κεκρυπται ζητησαντες, ευρησετε παντα. Οἱ μεν ουν οἰηθεντες θησαυρον ἐκει πȣ κατορωρυχθαι, πασαν την της ἀμπελου γην μετα την ἀποβιωσιν τȣ πατρος κατεσκαψαν. και θησαυρῳ μεν ȣ περιετυχον· ἡ δε ἀμπελος καλως σκαφεισα, πολλαπλασιονα τον καρπον ἐνεδωκε.

Ε'πιμυθιον.

Ο'μυθος δηλοι, ὁτι ὁ καματος θησαυρος ἐστι τοις ἀνθρωποις.

Δεσποτης, και Κυνες.

ΑΝηρ τις ὑπο χειμωνος ἐν τῳ αὐτȣ προαστειῳ ἀπολειφθεις. πρωτα μεν τα προβατα κατεφαγεν, εἰτα τας αἰγας. Τȣ δε χειμωνος ἐπικρατȣντος, και τȣς

ἐργατας βους σφαξας, ἐθοινησατο. Οἱ δε κυνες ταυτα ἰδοντες, διελεχθησαν προς ἀλληλους· φευγωμεν ἀλλ' ἡμεις γε ἐντευθεν. Εἰ γαρ των ἐργατων βοων ὁ δεσποτης ἡμων ἐκ ἐφεισατο, πως ἡμων φεισεται;

Ε'πιμυθιον.

Ο' μυθος δηλοι, ὁτι τουτους μαλιστα φευγειν και φυλαττεσθαι χρη, οἱ τινες οὐδε των οικειων ἀπεχονται.

Γυνη, και Ο'ρνις.

ΓΥνη χηρα τις 'ορνιν εἶχεν, καθ' ἑκαστην ἡμεραν ὠον αὐτη τικτουσαν· νομισασα δε, ὡς εἰ πλειους τη 'ορνιθι κριθας παραβαλλοι, δις τεξεται της ἡμερας, τουτο πεποιηκεν. Η' δ' 'ορνις πιμελης γενομενη, οὐδ' ἁπαξ της ἡμερας τεκειν' ηδυνατο.

Ε'πιμυθιον.

Ο' μυθος δηλοι, ὁτι οιδια πλεονεξιαν των πλειονων ἐπιθυμουντες, και τα παροντα ἀποβαλλουσι.

Κυνοδηκτος.

Δηχθεις τις ὑπο κυνος, τον ἰασομενον περιηει ζητων. ἐντυχαν δε τις αὐτῳ, και γνȣς ο ζητει, ω̉ ȣ̉τος εἶπεν, εἰ σωζεσθαι βουλει, λαβαν ἀρτον. και τȣτῳ το αἷμα τῆς πληγῆς ἐκμαξας, τῳ δακοντι κυνι φαγειν ἐπιδος. Κἀκεινος γελασας ἐφη. ἀλλ' εἰ τȣτο ποιησα, δει με ὑπο παντων των ἐν τῃ πολει κυναν δηχθηναι.

Ε'πιμυθιον.

Ο' μυθος δηλοι, ὁτι και των ἀνθρωπων οἱ πονηροι ευεργετουμενοι, μαλλον ἀδικειν παροξυνονται.

Νεανισκοι, και Μαγειρος.

Δυο νεανισκοι μαγειρῳ παρεκαθηντο. και δη τȣ μαγειρȣ περι τι των ο'κειων εργων ασχολȣμενȣ, ατερος τȣτων μερȣς τι των κρεων ὑφελομενος, εἰς τον θατερȣ καθηκε κολπον. ἐπιστραφεντος δε τȣ μαγειρȣ, και το κρεας ἐπιζητȣντος, ὁ μενειληφȣς ὠμνυε μη εχειν, ὁ δε εχαν, μη ειληφεναι. Ο' δε μαγειρος αἰσθομενος την

κακεργιαν αὐτῶν, εἶπεν. Α'λλα καν ἐμε λαθητε, τον γἐπιορκουμενον Θεον ἐκουν λησεσθε.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, ὁτι καν ἀνθρωπες ἐπιορκοῦντες λαθωμεν, ἀλλα τον γε Θεον ἐ ληςομεν.

Ε'χθροι.

ΔΥο τινες ἀλληλοις ἐχθραινοντες, επι τῆς αὐτῆς νεως ἐπλεον. ὧν ατερος μεν ἐπι τῆς πρυμνης, ατερος δε ἐπι τῆς πρωρας ἐκαθητο. Χειμῶνος δε ἐπιγενομενε, και τῆς νεως μελλεσης ἠδη καταποντιζεσθαι, ὁ ἐπι τῆς πρυμνης τον κυβερνητην ηρετο, ποτερον των μηρῶν τε πλοιε προτερον μελλει καταβαπτιζεσται. Τε δε την πρωραν εἰποντος, ἀλλ' ἐμοιγε ἐκ ἐστι λυπηρον, εἶπεν, ὁ θανατος, εἰγε ὁρων μελλω προ ἐμε τον ἐχθρον ἀποθνησκοντα.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, οτι πολλοι τῶν ανθρωπων ἐδεν τῆς ἑαυτῶν βλαβης φροντι-

ζȣσιν, εἰ τους ἐχθρȣς μονον ἰδῶσι προ αὐτῶν κακȣμενȣς.

Αἴλȣρος, και Μῦες.

ΕΝ οἰκιᾳ τινι πολλῶν μυῶν ὀντων, Αἴλȣρος τȣτο γνȣς, ηκεν ενταῦθα και καθεκαστον αὐτῶν συλλαμβανων κατηθιεν, Οἱ δε, καθ' ἑκαστην ἑαυτȣς ἀναλισκομενȣς ὁρῶντες, ἐφασαν προς ἀλληλȣς. μηκετι κατω κατελθωμεν, ἱνα μη παντάπασιν ἀπολωμεθα. Τοῦ γαρ αἰλουρȣ μηδυναμενȣ δεῦρο ἐξικνεῖσθαι, ἡμεῖς σωθησομεθα. Ο' δε αἴλȣρος μηκετι τῶν μυῶν κατιοντων, ἐγνω δι ἐπινοιας αὐτȣς σοφιζομενος ἐκκαλεσασθαι. Και δη ἀπο πατταλȣ τινος ἑαυτον ἀναβας ἀπῃωρησε, και προσεποιεῖτο νεκρον εἶναι. Τῶν δε μυων τις παρακυψας, και ιδων αὐτον ἐφη, ὠ ȣτος, καν θυλαξ γενῃ, οὐ προσελευσομαι σοι.

Επιμυθιον.

Ο' μῦθος δηλοῖ, ὁτι τῶν ἀνθρωπων οἱ φρονιμιοι, ὁταν τῆς ἐνιων μοχθηριας πειραθῶσιν, ȣκετι αὐτῶν ἐξαπατῶνται ταῖς ὑποκρισεσι.

Α'λωπηξ, και Πιθηκος.

ΕΝ συνοδῳ ποτε τῶν ἀλογων ζωων ὠρχησατο Πιθηκος. και ευδοκιμησας, βασιλευσ ὑπ' αὐτῶν ἐχειροτονηθη. Α'λωπηξ δ' αὐτῷ φθονησασα, ὠ ἐντινι παγιδι κρεας εθεασατο, την Πιθηκον λαβȣσα, ἐνταῦτα ἡγαγεν, ὡς εὑρηκεν αὐτη λεγȣσα θησαυρον τȣτον, μη μεν τοι και χρησασθαι αὐτῷ, τῷ βασιλεῖ, γαρ τȣτον ὁ νομος διδωσι. και πρȣτρεπετο αὐτον. ἀτε δη βασιλεα, τον θησαυρον ἀνελεσθαι. Ο' δ' ἀπερισκεπτως προσελθων, και συλληφθεις ὑπο τῆς παγιδος, ὡς ἐξαπατησασαν ἐμεμφετο την ἀλωπεκα. Η' δε προς αὐτον, ω' πιθηκε, τοιαυτην σὺ μωριαν ἐχων, τῶν ἀλογων βασιλευσεις;

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, ὁτι οἱ πραξεσι τισιν απερισκεπτως ἐπιχειρȣντες, δυστυχημασι περιπιπτȣσι.

Θυννος, και Δελφιν.

ΘΥννος, διωκομενος ὑπο Δελφῖνος, και πολλῷ τῷ ῥοιζῳ φερομενος, ἐπειδη

καταλαμβανεσθαι ἐμελλεν, ἐλαθεν ὑπο σφοδρᾶς ῥυμης ἐκπεσων εἰς τινα νῆσον. Ὑπο δε τῆς ὁμοιας ῥυμης και ὁ Δελφιν αὐτῷ συνεξωκειλεν. Ὁ δε Θυννος ἐπιστραφης, και λειποψυχοῦντα τον Δελφῖνα ἑωρακως, εἶπεν. ἐκετιμοι ὁ θανατος λυπηρος, ὁρῶντι τον αἴτιον γεγονοτα μοι τετε, συν εμοι ἀποθνησκοντα.

Ἐπιμυθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ῥαδιως; τας συμφορας οἱ ἀνθρωποι φερεσι, τες τετων αἰτιες δυστυχουντας ὁρῶντες.

Ἰατρος, και Νοσῶν.

Ἰατρος νοσοῦντα εθεραπευε. τε δε νοσοῦντος ἀποθανοντος, ἐκεῖνος προς τες ἐκκομιζοντας ἐλεγεν. ἕτος ὁ ἀνθρωπος, εἰ οἴνε ἀπηχετο, και κλυστῆρσιν ἐχρῆτο, ἐκ ἀν ἐτεθνηκει. Τῶν δε παροντων ὑπολαβων τις ἐφη· βελτιστε. οὐκ ἐδεισε ταῦτα νῦν λεγειν, ὁτε μηδεν ὀφελος εστιν· ἀλλα τοτε παραινεῖν, οτε τετοις χρῆσθαι ἠδυνατο.

Ε'πιμυϑιον.

Ο' μυθος δηλοῖ, 'οτι δει τυς φιλυς, ἐν καιρῷ ἐναγκης τας βοηθειας παρεχειν.

Ι'ξευτης, και Ε'χις.

Ιξευτης ἰξον ἀναλαβων και καλαμυς, προς ἀγραν ἐξῆλθεν. Ι'δων δε κιχλαν ἐφ' ὑψηλῦ δενδρυ καθεζομενην, και τυς καλαμυς ἀλληλοις ἐπι μῆκος συναψας, ανω προς αὐτην, συλλαβεῖν βυλομενος ἐφεωρα. Και δε λαθων, Ε'χιν κοιμαμενην ὑπο ποδας επατησε. Τῆς δ' 'οργισθεισης και δακυσης. αὐτον, ἐκεῖνος 'ηδη λειποψυχῶν ἐλεγε. Δυστηνος ἐγω, ἑτερον γαρ θηρεῦσαι βυλομενος, αὐτος ὑφ' ἑτερυ 'ηγρευθην εις θανατον.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, ὁτι οἱ τοῖς πελας επιβυλευοντες, λανθανυσι πολλακις, ὑφ' ἑτερων τυτ' αὐτο πασχοντες.

Καστωρ.

Ο'Καστωρ ζωον ἐστι τετραπυν, ἐν

λιμναις τα πολλα διαιτωμενον, ȣ τα αἰδοῖα φασιν ιατροῖς χρησιμα εἶναι. Οὗτος οὖν ἐπειδαν ὑπ' 'ανθρωπων διωκομενος καταλαμβανηται, γινωσκων οὗ χαριν διωκεται, 'αποτεμων τα ἑαυτοῦ αἰδοια, ῥιπτει προς τȣς διωκοντας, και ουτω σωτηριας τυγχανει.

Ἐ'πιμῦθιον.

Ο' μῦθος δηλοῖ, ὅτι οὕτω και τῶν 'ανθρωπων οἱ φρονιμοι ὑπερ τῆς ἑαυτῶν σωτηριας, οὐδενα λογον τῶν χρηματων ποιȣ̃νται.

Κυων, και Μαγειρος.

Κυων εἰσπηδησας εἰς μαγειρεῖον, και τȣ̃ μαγειρου 'ασχολȣμενȣ, καρδιαν ἁρπασας ἐφυγεν. Ο' δε μαγειρος ἐπιστραφεὶς, ὡς εἶδεν αὐτον φευγοντα, εἶπεν. ὦ οὗτος, ἴσθι ὡς ὅπου περ 'αν ἧς, φυλαξομαι σε. ȣ̓ γαρ 'απ' εμοῦ καρδιαν εἴληφας, 'αλλ' ἐμοι καρδιαν ἐδωκας.

Ἐ'πιμυθιον.

Ο' μῦθος δηλοῖ, ὅτι πολλακις τα παθηματα τοῖς ανθρωποις μαθηματα 'γινονται.

Κυων, και Λυκ ς.

ΚΥων προ επαυλεως τινος εκαθευδε. Λυκȣ δε επιδραμοντος, και βρωμα μελλοντος θυσειν αυτον, εδειτο μη νυν αυτον καταθυσαι. νυν μεν γαρ φησι λεπτος ειμι και ισχνος. 'αν δε μικρον 'αναμεινης, μελλȣσιν οἱ εμοι δεσποται ποιησειν γαμȣς, καγω τηνικαυτα πολλα φαγων, πιμελεστερος εσομαι, και σοι ἡδυτερον βρωμα γενησομαι. Ο' μεν ουν λυκος πεισθεις. 'απηλθε. Μεθ' ἡμερας δ' επανελθων ευρεν 'ανω επι τȣ δωματος τον κυνα καθευδοντα, και στας κατωθεν, προς εαυτον εκαλει, ὑπομιμνησκων αυτον του συνθηκων. Και ὁ κυων· 'αλλ' ω λυκε, ει τοκποτȣδε προς της επαυλεως με ιδοις καθευδοντα, μηκετι γαμȣς 'αναμενης.

Ε'πιμυθιον

Ο' μυθος δηλοι, ὁτι οἱ φρονιμοι των 'ανθρωπων, ὁταν περι τι κινδυνευσαντες σωθωσι, δια βιȣ τȣτο φυλαττονται.

Κυων, και Α'λεκτρυων.

ΚΥων, και Α'λεκτρυων εταιρειαν ποιη-

σχμενοι, αδευον εσπερας δε καταλαβυσης, ὁ μεν ἀλεκτρυων ἐπι δενδρυ ἐκαθευδεν ἀναβας, ὁ δε κυων προς τῇ ῥιζῃ τυ δενδρυ, κοι λωμα ἐχοντος. Τυ δε ἀλεκτρυονο κατα το εἰωθος νυκτωρ φανησαντος, Α'λωπηξ ἀκουσασα, προς αὐτον ἐδραμε· και στᾶσα κατωθεν. προς ἑαυτην κατελθεῖν ἠξιυ. ἐπιθυμεῖν γαρ ἀγαθην υτω φωνην ζῶον ἐχον ἀσπασασθαι. Του δε ειποντος, τον θυρωρον προτερον διυπνισαι ὑπο την ῥιζαν καθευδοντα, ὡς ἐκεινυ ἀνοιξαντος. κατελθεῖν· Κακεινης ζητυσης αὐτον φωνῆσαι, ὁ κυων αἰφνης πηδησας, αὐτην διεσπαραξε.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, 'οτι οἱ φρονιμοι τῶν ἀνθρωπων τυς ἐχθρυς ἐπελθοντας, προς ἰσχυροτερους πεμπυσι παραλογιζομενοι.

Λεων, και Βατραχος.

ΛΕ'ων ἀκουσας ποτε βατραχυ μεγα βοῶντος ἐπεστραφη· προς την φωνην, οἰομενος μεγα τι ζῶον εἶναι. προσμεινας δε μικρον, ὡς εἶδεν αὐτον προελθοντα τῆς λιμνης, προσελθων αὐτον κατεπατησε.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, μη δεῖν προ τῆς 'οψεως δὶ ἀκοῆς μονης ταραττεσθαι.

Λεων, και Ο'νος, και Α'λωπηξ.

ΛΕ'ων. και Ο'νος, και Α'λωπηξ κοινωνιαν ποιησαμενοι ἐξῆλθον προς ἄγραν. Πολλῆς οὖν θηρας συλληφθεισης. προσεταξεν ὁ Λεων τῷ Ο'νῳ διελεῖν αὐτοῖς. Ο' δε τρεῖς μεριδας ποιησαμενος ἐκ τῶν ἴσων, ἐκλεξασθαι τετες πρᾳτρεπετο. Και ὁ Λεων θυμωθεις, τον Ο'νον κατεφαγεν. Εἶτα τῇ Α'λωπεκι μεριζειν ἐκελευσεν. Η' δ' εἰς μιαν μεριδα παντα σωρευσασα, ἑαυτῇ βραχυ τι κατελιπε. Και ὁ Λεων πρός αὐτην· τις σε ὦ βελτιστη διαιρεῖν ἕτως ἐδιδαξεν; Η' δ' εἶπε· τᾶ Ο'νε ἡ συμφορα.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, ὅτι σωφρονισμοι γινονται τοῖς ἀνθρωποις, τα τῶν πελας δυστυχηματα.

Λεων, και Α'ρκτος.

ΛΕ'ων, και Α'ρκτος ὁμῦ βρεφυρῳ πε-

τυχοντες, περι τȣτȣ ἐμαχοντο· Δεινῶς ȣν ὑπ' ἀλληλων διατιθεντες, ὡς ἐκ τῆς πολλῆς μαχης και σκοτοδινασαι, ἀπαυδησαντες ἐκειντο. Α'λωπηξ δε κυκλῳ περιιοῦσα, πεπτωκοτας αὐτȣς ἰδȣσα· και το βουνευρον ἐν τῷ μεσῳ κειμενον, τȣτο δια μεσȣ ἀμφοιν διαδραμȣσα, και ἁρπασασα, φευγȣσα ᾤχετο. Οἱ δε, βλεποντες μεν αὐτην, μη δυναμενοι δε ἀναστῆναι, δειλαιοι ἡμεῖς εἶπον, ὅτι δὶ Α'λωπεκα ἐμοχθοῦμεν.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, ὅτι ἀλλων κοπιουντων, ἀλλοι κερδαινȣσι.

Μαντις.

ΜΑντις ἐπ' ἀγορᾶς καθημενος διελεγετο. ἐπιστάντος δε τινος αἰφνης, και ἀπαγγειλαντος, ὡς αἱ τῆς οἰκιας αὐτȣ θυριδες ἀναπεπταμεναι τε πασαι εἶεν, και παντα τα ἐνδον ἀφῃρημενα, ἀνεπηδησε τε στεναξας. και δρομαῖος ᾔει. τρεχοντα δε τις αὐτον θεασαμενος, ὦ οὗτος εἶπεν, ὁ τα ἀλλοτρια προειδεναι ἐπαγγελλομενος, τα σαυτȣ οὐ προεμαντευȣ;

Ε'πιμῦθιον.

Ο' μῦθος προς τȣς τον μεν ἑαυτῶν βιον φαυλως διοικοῦντας, τῶν δε μηδεν αὐτοῖς προσηκοντων, προνοεῖσται πειρωμενȣς.

Μυρμηξ, και Περιστερα.

ΜΥ'ρμηξ διψησας, κατελθων εἰς πηγην, παρασυρεις ὑπο τȣ ῥευματος, ἀπεπνιγετο. Περιστερα δε τȣτο θεασαμενη, κλῶνα δενδρȣ περιελȣσα, εἰς την πηγην ἐρριψεν. ἐφ' ȣ και καθισας ὁ μυρμηξ διεσωθη. Ι'ξευτης δε τις μετα τȣτο τȣς καλαμȣς συνθεις, ἐπι το την περιστεραν συλλαβεῖν ᾐει. τοῦτο δ' ὁ μυρμηξ ἑωρακως, τον τȣ ἰξευτȣ ποδα ἐδακεν. ὁ δε ἀλγησας, τȣς τε καλαμȣς ἐρριψε, και την περιστεραν αὐτικα φυγεῖν ἐποιησε.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ. ὁτι δεῖ τοῖς ευεργεταις χαριν ἀποδιδοναι.

Νυκτερις, και Βατος, και Αἴθυια.

ΝΥκτερις, και Βατος, και Αἴθυια

ἑταιρειαν ποιεσαμεναι, ἐμπορικον διεγνωσαν βιον ζην. Η' μεν ἐν Νυκτερις ἀργυριον δανεισαμενη, καθῆκεν εἰς το μεσον. ἡ δε Βατος ἐσθητα μεϑ' αὐτῆς ἐλαβεν. ἡ δε Αἴθυια τριτη χαλκον. και ἀπεπλευσαν. Χειμῶνος δε σφοδρȣ̃ γενομενȣ, και τῆς νεως περιτραπεισης παντα ἀπολεσαντες, αὐτοι ἐπι την γην διεσαθησαν. Ε'ξ ἐκεινȣ τοινυν ἡ μεν Αἴθυια τοῖς αἰγιαλοῖς ἀει παρεδρευει. μηπȣ τον χαλκον ἐκβαλλη ἡ θαλαττα. Η' δε Νυκτερις τȣς δανειστας φοβȣμενη, τῆς ἡμερας ȣ̓ φαινεται, νυκτωρ δ' ἐπι νομην ἐξεισιν. Η' δε Βατος, τῆς τῶν παριοντων ἐσθῆτος ἐπιλαμβανεται, εἰπȣ την οἰκειαν ἐπιγνοιη ζητȣ̃σα.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ: 'οτι περι 'α σπȣδαζομεν, τȣτοις εἰς ὑστερον περιπιπτομεν.

Νοσῶν, και Ι'ατρος.

Νοσῶν τις, και ὑπο τȣ̃ Ι'ατροῦ ἐρωτωμενος, 'οπως διετηρηθη, πλεον εἶπε τȣ̃ δεοντος ἱδρωκεναι. ὁ δε, αγαθον ἐφη τȣ̃το ειναι. Ε'κ δευτερȣ δεπαρ' αὐτȣ̃ παλιν ἐροτηθεις, ὁπως ἐσχε. φρικη συσχε

θεις εἶπε, σφοδρῶς διατετιναχθαι. Ο' δε, και τῦτ' ἀγαθον ἔφησεν εἶναι. Ε'κ δε τριτυ αὖθις, ὅπως διεγένετο; εἶπεν ὕδερω περιπεπτωκεναι. Ο' δε και τῦτο παλιν ἀγαθον εἶπεν εἶναι. Εἶτα τῶν οἰκειων τινος αὐτον ἐρωτησαντος, ὅπως ἔχεις; Ε'γω εἶπεν ὦ ὗτος, ὑπο τῶν ἀγαθῶν ἀπολλυμαι.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, ὅτι μαλιστα τῶν ἀνθρωπων δυσχεραινομεν, τους προς χαριν ἀεὶ βουλομενυς λεγειν.

Ξυλευομενος, και Ε'ρμῆς.

ΞΥλευομενος τις παρα τῷ ποταμῷ, τον οἰκεῖον ἀπεβαλε πελεκυν. ἀμηχανῶν τοινυν, παρα την 'οχθην καθισας ὠδυρετο. Ε'ρμῆς δε μαθων τῆν αιτιαν, και οἰκτειρας τον ἀνθρωπον. καταδυς εἰς τον ποταμον, χρυσῦν ἀνηνεγκε πελεκυν, και εἰ ὗτος ἐστιν 'ον ἀπωλεσεν, ἤρετο. Τῦ δε, μὴ τῦτον εἶναι φαμενυ, αὖθις καταβας, ἀργυρῦν 'ανεκομισε. Τῦ δε μηδε τῦτον εἶναι τον οἰκεῖον εἰποντος, ἐκ τριτυ καταβας, ἐκεῖνον τον οἰκεῖον ἀνηνεγκε. τῦ δε τῦτον ἀληθῶς

εἶναι τον ἀπολωλοτα φαμενȣ, Ἑρμῆς ἀποδεξαμενὸς αὐτȣ την δικαιοσυνην, παντας αὐτῷ ἐδωρήσατο. Ὁ δε παραγενομενος, παντα τοῖς ἑταιροις τα συμβαντα διεξεληλυθεν. ὧν εἶς τις τα ἶσα διαπραξασθαι ἐβȣλευσατο· και παρα τον ποταμον ἐλθων. και την οικιαν ἀξινην ἐξεπιτηδες ἀφεις εις το ῥευμα, κλαιων ἐκαθητο. Ἐπιφανεις ȣν ὁ Ερμῆς κακεινῳ, και την αιτιαν μαθων τȣ θρηνȣ, καταβας ὁμοιως χρυσην ἀξινην εξηνεγκε. και ἠρετο ει ταυτην ἀπεβαλε. Τȣ δε, συν ἡδονῇ, και ἀληθῶς ἡδ᾽ ἐστι, φησαντος, μισήσας ὁ Θεος την τοσαυτην ἀναιδειαν, ȣ μονον ἐκεινην κατεσχεν, ἀλλ᾽ ȣδε την οἰκειαν ἀπεδωκε.

Ἐπιμῦθιον.

Ὁ μῦθος δηλοῖ ὁτι ὁσον τοῖς δικαιοις το Θεῖον συναιρεται, τοσȣτον τοῖς ἀδικοις ἐναντιȣται.

Ὄνος, και Κηπαρος.

Ὄνος ὑπηρετȣμενος κηπαρῷ. ἐπειδη ὀλιγα μεν ἠσθιε, πλεις α δ᾽ ἐμοχθει, ηὐξατο τῷ Διῒ, ὡς τε τȣ κηπω-

ρȣ ἀπαλαγεὶς, ἑτέρῳ ἀπεμπαληθῆναι δεσπότῃ. Τȣ δὲ Διὸς ἐπακουσαντος. καὶ κελεύσαντος αὐτὸν κεραμεῖ πραθῆναι, παλιν ἐδυσφόρει πλέον, ἢ πρότερον, ἀχθοφορῶν. καὶ τον τε πηλον, καὶ τȣς κεραμȣς κομιζαν. Παλιν οὖν ἀμεῖψαι τον δεσποτην ἱκετευε. καὶ βυρσοδέψῃ ἀπεμπαλεῖται. Εἰς χειρονα τοινυν τῶν προτερων δεσποτην ἐμπεσων, καὶ ὁρῶν τα παρ᾽ αὐτȣ πραττομενα μετα στεναγμῶν ἔφη· οἴμοι τῷ ταλαιπωρῳ, βελτιον ἦν μοι παρα τοῖς προτεροις δεσποταις μενειν. ȣτος γαρ ὡς ὁρῶ, καὶ το δερμα μȣ κατεργασεται.

Ἐπιμυθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τοτε μαλιστα τȣς προτερȣς δεσποτας οἰκεται ποθȣσιν, ὁταν τῶν δευτερων λαβωσι πεῖραν.

Ὀρνιθοθήρας, καὶ Κορυδαλος.

Ὀρνιθοθηρας ὀρνισιν ἵστη παγιδας. Κορυδαλος δε τȣτον ποῤῥωθεν ἰδων, ἐπυνθανετο τι ποτ᾽ ἐργαζοιτο. Του δε, πολιν κτιζειν φαμενȣ, εἶτα δε ποῤῥωτερω ἀποχωρησαντος, καὶ κρυβεντος, ὁ

κορυδαλὸς τοῖς τȣ ἀνδρος λογοις πιστευσας, προσελθων εἰς τον βροχον ἑαλω. Τȣ δε ᾽ορνιθοθηρα ἐπιδραμοντος, ἐκεῖνος εἶπεν. Ω̃ ȣ̔τος, εἰ τοιαυτην πολιν κτιζεις, οὐ πολλοὺς ευρησεις τους ἐνοικοῦντας.

Ε᾽πιμυθιον.

Ο᾽ μῦθος δηλοῖ, ὁτι τοτε μαλιστα οἶκοι και πολεις ἐρημοῦνται, ὁταν οἱ προεστῶτες χαλεπαινωσι.

Ο᾽δοιπορος.

Ο᾽Δοιπορος πολλην ἀνυσας ὁδον, ηυξατο. εἰ ἀρα ευρησει τι, το ᾽ημισυ τȣτȣ τῷ Ε᾽ρμεῖ ἀναθησειν. Περιτυχων δε πηρᾳ μεστῇ φοινικων και ἀμυγδαλων. και ταυτην ἀνελομενος, ἐκεινους, μεν ἐφαγε, τα δε τῶν φοινικων ὀστᾶ, και τα τῶν ἀμυγδαλων κελυφη ἐπι τινος ἀνεθηκε βωμȣ̃. φησας. ἀπεχεις ὠ Ε᾽ρμῆ την ευχην. Τοῦ γαρ ευρεθεντος τα ἐκτος και ἐντος προς σε διανεμομαι.

Ε᾽πιμυθιον.

Ο᾽ μῦθος, προς ἀνδρα φιλαργυρον,

περι τȣς Θεȣς δια πλεονεξιαν κατασοφιζομενον.

Παῖς, και Μητηρ.

Παῖς ἐκ διδασκαλειȣ την τοῦ συμμαθητοῦ δελτον κλεψας, 'ηνεγκε τῇ μητρι. Τῆς δε μη ἐπιπληξασης, μᾶλλον μεν οὖν ἀποδεξαμενης, προιων τοῖς χρονοις, 'ηρξατο και τα μειζω κλεπτειν. Ε'παυτοφωρω δε ποτε ληφθεις. ἀπηγετο την προς θανατον. τῆς δε μητρος ἐπομενης, και 'ολοφυρομενης, ἐκεῖνος τῶν δημιων ἐδεῖτο βραχεα τινα τῇ μητρι διαλεχθηναι προς το οὖς. Τῆς δε ταχεως τῷ στοματι τȣ παιδος προσθεισης, ἐκεῖνος το οὖς τοῖς 'οδοῦσι δακων ἀφειλετο. Τῆς δε μητρος και τῶν ἀλλων κατηγορουντων ὡς οὐ μονον κεκλοφεν, ἀλλ' 'ηδη και εἰς την μητερα 'ησεβηκεν, ἐκεῖνος εἶπεν. Αὐτη γαρ μοι τῆς 'απολειας γεγονεν αἰτιος. εἰ γαρ ὁτε την δελτον ἐκεκλοφειν. ἐπεπληξε μοι. οὐκ 'αν μεχρι τȣτων χωρησας, νῦν 'ηγομην ἐπι τον θανατον.

Ε'πιμυθιον.

Ο' μῦθος δηλοῖ, ὁτι τῶν μη κατ' αρχας κολαζομενων, ἐπι μεῖζον αὐξανει τα κακα.

Ποιμην, και Θαλασσα.

Ποιμην ἐν παραθαλασσιῳ τοπῳ ποιμνιον νεμων. ἑωρακως γαληνιῶσαν την θαλατταν, ἐπεθυμησε πλεῦσαι προς ἐμποριαν. ’απεμπωλησας οὖν τα προβατα, και φοινικων βαλανυς πριαμενος, ’ανηχθη. Χειμῶνος δε σφοδρῦ γενομενυ, και τῆς νεως κινδυνευυσης βαπτιζεσθαι. παντα τον φορτον ’εκβαλων εἰς την θαλατταν, μολις κενῇ τῇ νηῒ διεσωθη. Μετα δ’ ἡμερας οὐκ ὀλιγας παριοντος τινος, και τῆς θαλαττης, ἔτυχε γαρ αὐτη γαληνιῶσα, την ἠρεμιαν θαυμαζοντος, ὑπολαβων ὗτος εἶπε· φοινικων αὖθις ὡς ἐοικεν ἐπιθυμεῖ, και δια τῦτο φαινεται ἡσυχαζυσα.

Ε’πιμυθιον.

Ο’ μῦθος δηλοῖ, ὁτι τα παθηματα τοῖς ’ανθρωποις μαθηματα γινονται.

Ρ’οια, και Μηλεα.

Ρ’Οια και Μηλεα περι καλλυς ’ηριζον. Πολλῶν δ’ ’αμφισβητησεων μεταξυ γενομενων, βατος ἐκ τῦ πλησιαν ’ακυσασα

φραγμῦ, παυσωμεθα εἶπεν ὦ φιλαι ποτε μαχομεναι.

Επιμυθιον.

Ο᾽ μῦθος δηλεῖ, ὅτι ἐν ταῖς τῶν ἀμεινονων στασεσι, και οἱ μιδενος ἀξιοι πειρῶνται εἶναι τι.

Α᾽σπαλαξ.

Ο᾽ Α᾽σπαλαξ τυφλον ζῶον ἐστι. Φησιν οὖν ποτε τῇ μητρι. συκαμινεαν μῆτερ ὁρῶ. Εἶτα αὖθις φησι· λιβανυ ᾽οσμῆς πεπληρωμαι. Κἄκτριτυ παλιν. χαλκῆς φησι ψηφιδος κτυπον ἀκουω. ἡδε μητηρ ὑπολαβῦσα εἰπεν. Ω᾽τεκνον, ὡς ἡδη καταμανθανω, οὐ μονον ᾽ο ψεως ἐστερησαι ἀλλα και ἀκοῆς, και ᾽οσφρησεως.

Ε᾽πιμυθιον.

Ο᾽ μῦθος δηλοῖ, ὅτι ἐνιοι τῶν ἀλαζονων, τα ἀδυνατα κατεπαγγελλονται, και ἐν τοῖς ἐλαχιστοις ἐλεγχονται.

Σφῆκες, και Περδικες.

Σφῆκες, και Περδικες διψησυνεχομενοι,

προς γευργον ἠλθον παρ' αὐτου αἰτουντες πιειν ἐπαγγελλομενοι ἀντι τε ὑδατος. ταυτην την χαριν ἀποδωσειν. οἱ μεν Περδικες, σκαψειν τας ἀμπελους. αἱ δε Σφηκες κυκλῳ περιιοντες τοις κεντροις ἀποσοβειν τες κλεπτας. Ο' δε γεωργος ἐφη. ἀλλ' ἐμοιγε εἰσι δυο βοες, οἱ μηδεν ἐπαγγελλομενοι, παντα ποιουσιν, Α'μεινον ουν εστιν ἐκεινοις δουναι, ἠπερ ὑμιν.

Ε'πιμυθιον.

Ο' μυθος προς ἀνδρας ἐξωλεις, ὠφελειν μεν ἐπαγγελλομενες, βλαπτοντας δε μεγαλα.

Ταως, και Κολιος.

ΤΩν Ο'ρνιθων βουλομενων ποιησαι βασιλεα, Ταως ἑαυτον ἠξιε δια το καλλος χειροτονειν. Αἱρεμενων δε τετο παντων, Κολιος ὑπολαβων ἐφη. αλλ' εἰ σε βασιλευοντος, Α'ετος ἡμας καταδιωκειν ἐπιχειρησει, πως ἡμιν ἐπαρκεσεις;

Ε'πιμυθιον.

Ο' μυθος δηλοι, ὁτι τες ἀρχοντας ἐ δια καλλος μονον. ἀλλα και ῥωμην και φρονησιν ἐκλεγεσθαι δει.

Μονιος, και Α'λωπηξ.

ΜΟνιος ἀγριος ἐπι τινος ἑστως δενδρυ, τυς 'οδοντα; ἐθηγεν. Α'λωπεκος δ' ἐρομενης την αἰτιαν, 'οτι μηδεμιᾶς προσκειμενης ἀναγκης, τι τυς 'οδοντας θηγει; εφη, οὐκ ἀλογως τῦτο ποιῶ. Εἰ γαρ με κινδυνος περισταιη· οὐκουν με τηλικαῦτα προς τυς 'οδοντας ἀκονᾶν ἀγορεῦθαι δεησει. ἀλλα μᾶλλον ἑτοιμοις ὖσι χῆσθαι.

Φιλιππος Α'ριστοτελει εὖ πραττειν. β.

ΙΣΘΙ μοι γεγονοτα υιον· πολλην ὖν τοῖς θεοῖς χαριν ἐχω, ὐχ ὑτως ἐπι τῇ γενησει την παιδος, ὡς ἐυπι τῷ κατα την σην ἡλικιαν αὐτον γεγονεναι· ἐλπιζω γαρ αὐτον ὑπο σῦ τραφεντα, και παιδευθεντα, ἀξιον ἐσεσθαι και ἡμῶν, και τῆς τῶν πραγματων διαδοχῆς.

Μειλησιππῳ. δ'

ΗΚΟΥΟΝ σε λελυπῆσται· ὁτι τα Αθηναιων τεκνα πληγας ἡμῖν ἐνετεινε, μεθυοντα· και δεινα πασχειν. εὖ δε ἰσθι, ὁτι το Διογενυς μεν ἐπληχθη σῶμα ὑπο

τῶν μεθυοντων, ἀρετη δε οὐκ ᾐχυνθη· ἐπει μητε κοσμεῖσθαι πεφυκεν ὑπο φαυλων, μητε αἰσχυνεσθαι. Διογενης μην δε ἐχ ὑβρισθη. κακῶς. δ' ἐπαθεν ὁ ἀθηναιων δῆμος, ἐν ῷ τινες ἐδοξαν ἀρετῆς ὑπεριδεῖν.

Κρατης τοῖς ἑταιροις. στ.

ΜΕΛΕΤΩ ὑμῖν τῆς ψυχῆς. τῶν δε σωματος, ὁσον ἀναγκη· τῶν δ' ἐξω, μηδ' ὁσον. Εὐδαιμονια γαρ ἐχ ἡδονη. δι ην τῶν ἐκτος χρεια, ἀλλ' ἀρετη μετ' ουδενος τῶν ἐκτος τελεια.

Τοῖς αὐτοῖς. ζ.

ΚΑΛΟΝ νομος, ἀλλ' ἐ κρεῖττον Φιλοσοφιας· ὁ μην γαρ βιαζεται μη ἀδικεῖν, ἡ δε διδασκει. Ὁσῳ δε χεῖρον ἐστιν 'αναγκη τι ποιεῖν τοῦ ἑκεσιως. τοσετω και νόμος Φιλοσοφιας. Ὡστε δια ταῦτα Φιλοσοφεῖτε, και μη πυλιτευεσθε. Κρεῖττον γαρ, δἰ ἐ διδασκονται 'ανθρωποι δικαιοπραγεῖν ἐπιστασθαι, ἡ δἰ ἐ 'αναγκαζονται μη 'αδικεῖν.

Ὠ'ριγηνει. η.

ΟΥ' ποιεῖ 'αγρος σπεδαιες, ουδε 'α

στυ φαυλυς. ἀλλ' αἱ συν τοις ἀγαθοις, και κακοις διατριβαι. Ωστ' εἰ βυλει ἀγαθυς, και μη κακυς γινεσθαι σοι τυς παιδας, πεμπε μη κατ' ἀγρον, ἀλλ' εἰς Φιλοσοφυς. ἱνα και αὐτοι βαδιζοντες, τα καλα εκμαθοιεν· ἀσκητον γαρ ἀρετη, και ουκ αὐτοματον ἐμβαινει τῃ ψυχῃ, ὡσπερ κακια.

Φαλαρις Λακριτῳ. 1

Α'ΧΘΟΜΕΝΩ μην σοι βαρεως ἐπι τῃ του παιδος τελευτῃ, πασα συγγναμη. Καγω δε σφοδρα συμπαθων, ὡς εἱς των οἰκειων το συμβεβηκος ἡγυμενος, μειζον ἀχθυμαι, και τοι στερροτερα φυσει προς τα τοιαυτα χρωμενος, δια το μηδεν οφελος ὁραν μηδε τοις ἀμετρως ἀνιωμενοις. παραμυθια δε ἐστασοι μεγαλη της ἐπ' αὐτῳ συμφορας· πρωτον μην, ὁτι ὑπερ πατριδος ἀγωνιζομηνος ἐν πολεμῳ συν ἀριστειᾳ τεθνηκεν· εἰθ', ὁτι νικων καλλιστου τελυς ὑπο της εἱμαρμενης ἠξιωται. Το δε τελευταιον, ὁτι μηδεν ἁμαρτων παρα τον βιον, ὑπεσφραγισε γαρ ιδιαν ἀρετην θανατῳ. ὁ μην γαρ ἐν τῳ ζην ἀγαθος, ἀδηλον, εἰ μεταβαλει προς το χειρον. αἱ τυχαι γαρ ἀντρωπων το πλειστον,

ὐχ αἱ γνῶμαι κρατῦσιν· ὁ δε τελευτήσας ’ακατηγορητος· ἐν τῷ καλλιστῳ σχηματι τῆς δοξης καθιδρυται· νομισας ὖν ’αξιας παρ ’αυτῦ χαριτας ’απειληφεναι γενεσεως, και ’ανατροφῆς, το καλον, καγαθον μεχρι τελυς αὐτον γεγονεναι, ταυτην αὐτῷ τὴν ’αμοιβην ’αντιδος, το πρᾳως, και ευπαρηγορητως την ἐπ’ ’αυτῷ λυπην ἐνεγκεῖν.

Βασιλειος Ὀλυμπιῳ. ιγ.

ΕΓΡΑΦΕΣ ἡμῖν προτερον μην ’ολιγα, νυν δ’ ουδε ’ολιγα· και ἐοικεν ἡ βραχυλογια προιῦσα, τῷ χρονῳ παντελης γινεσθαι ’αφανια· ἐπανελθε τοινυν ἐπι το ἐθος· ὡς ουκ ἐτι σοι μεμφομεθα λακωνιζοντι προς ἡμᾶς δια γραμματων· ’αλλα και τα μικρα γραμματα, συμβολα ’οντα τῆς μεγαλης σῦ διαθεσεως, πολλῦ ’αξια ποιησομεθα· μονον ἐπιστελλε ἡμῖν.

Γρηγοριῳ τῷ Θεολογῳ. ιζ.

ΓΡΑΜΜΑ ἦλθε μοι πραην παρα σῦ, ’ακριβῶς σον, ὐ τοσῦτον τῷ χαρακτῆρι τῆς χειρος, ὁσον τῷ τῆς ἐπιστολῆς ἰδιωματι· ’ολιγα γαρ ἠν τα γραμματα πολ-

λην διανοιαν παριστῶντα· προς ἃ ευθυς μεν ουκ απεκριναμηνα, διοτι αὑτοι μαν ἐπεδημῦμεν, ὁ δε γραμματοφορος ἐνι τῶν ἐπιτηδειων ἡμῖν ἐπιδȣς την ἐπιστολην, απιων ᾤχετο · ’αλλα νῦν δια Πετρȣ προσφθεγγομεθα σε. ὁμȣ μεν αποτιννυντες τῆς προσηγοριας το χρεος, ὁμȣ δε ἀφορμην δευτερων γραμματων παρεχοντες. Παντας δε ουδεις πονος λακωνικῆς ἐπιστολῆς, ὁποῖαι εισιν αἱ παρα σȣ ἑκαστοτε προσῆμας ’αφικνȣμεναι.

Γρηγοριος Θεολογος
Νικοβȣλῳ. ιη.

ΤΟ λακωνιζειν ȣ τουτ’ ἐστιν ὁπερ οἴει, ’ολιγας συλλαβας γραφειν · ’αλλα περι πλειστων ’ολιγας· ȣτως ἐγω και βραχυλογωτατον Ο’μηρον λεγω, και πολυν τον Α’ντιμαχον. πῶς; τοῖς πραγμασι κρινων το μῆκος, ’αλλ’ ȣ τοῖς γραμμασι.

Συνεσιος Σιμπλικιῳ.

Ε’ΔΕΙ μεντοι ταῖς τυχαις τας γνωμας μη συνεξαιρεσθαι, μηδε το μεμνησθαι τῶν παλαι φιλων ἐλαττον ἡγεῖσθαι τῆς παρȣσης ’αξιας· συ δε ἡμῶν. ἐπιλησμων ἐγενȣ χρονȣ συχνȣ· χρην δε ȣ-

γι, καιτοι σφυδρᾶς διαθεσεως συναψασης ἡμᾶς ἀλληλοις.

Ηλιοδωρῳ. κζ.

ΕΜΟΙ μεν συμπροεισι τοῖς ἐνιαυτοῖς και ἡ τοῦ φιλτρυ προσθηκη· συ δ᾽. εἰ μεν ὁμοιως ἐχων, οὐκ ἀγεις σχολην ὑπο τοῦ τῶν πραγματων ὀχλυ, γραμμασι τιμᾶν ὡς εἰκος, ἁπαξ ποτε. και ὑς εἰκος, κλεψας σαυτον ἀπο τῶν δημοσιων χρονον, ὁσον ἀρκεσαι προς μετρον ἐπιστολῆς, αὐτο τυῦτο μηνυσον· ει δε ἐπιγινωσκεις ἀληθευομενην κατα συ την ὑποψιαν τῆς ληθης. διορθωσαι μετανοιᾳ, και σαυτον ἡμῖν ἐπαναγαγε.

Εὐσταθιῳ. κθ.

Ο ΓΡΑΦΩΝ ἐγω την ἐπιστολην, φιλος ὑμῖν, ὁ κομιζων, φιλος ἐμοι. Γενοιτο τοινυν και σοι δι᾽ ἐμε. Και γνῶθι κανταῦθα ποδαπος τις εἰμι φιλυς εἰσαγων τοῖς φιλοις· ἐφ᾽ οἷς δε ἡκει, και ὁπως αὐτα χρη διαθεῖναι. τας μεν αἰτιας αὐτος διηγησεται· προς δε το δευτερον ὑμεῖς ἰφηγησασθε, και φιλῦντες αγαν, και φρονῦντες ἱκανῶς.

I.

ΥΠΟΘΕΣΙΣ.

(Ἰσοκράτης πέμψων προς Φιλιππον τον περι του διαλλαξαι τους Ἑλληνας, και πολεμῆσαι τοις Βαρβαροις λογον, ταυτην προστεθηκε την ἐπιστολην, συνοψιν τε του λογου περιεχοσαν. και εἰς ἀναγνωσιν αὐτου την ἐκεινου ψυχην προπαρασκευαζουσαν, και προοιμιῳ του Φιλιππικου σχεδον ἐοικυιαν. Wolf.)

ΙΣΟΚΡΑΤΗΣ ΦΙΛΙΠΠΩι ΤΩι ΤΩΝ ΜΑΚΕΔΟΝΩΝ ΒΑΣΙΛΕΙ ΧΑΙΡΕΙΝ.

Εἰ μεν νεωτερος ἦν, οὐκ ἀν ἐπιστολην ἐπεμπον, ἀλλ' αὐτος ἀν σοι πλεύσας ἐνταῦθα διελεχθην. Ἐπειδη δε οὐ κατα τους αὐτους χρονους ὁ, τε τῆς ἡλικιας τῆς ἐμῆς καιρος. και ὁ τῶν πραγματων συμβεβηκεν, ἀλλ' ἐγω μην προαπειρηκα, τα δε πραττεσθαι νυν ἀκμην εἰληφεν; ὡς οἱον τε ἐστιν ἐκ τῶν παρ.ντων, οὑτω σοι πειρασομαι δηλῶσαι περι αὐτῶν. Οἶδα μεν οὖν, ὁτι τοις συμβουλευειν ἐπιχειροῦσι πολυ διαφερει, μη δια γραμ-

ματων ποιεῖσθαι την συνουσιαν, ἀλλ' αὐτους πλησιασαντας· οὐ μονον ὅτι περι των αὐτων πραγματων ῥᾶον ἄν τις παρων προς παροντας φρασειεν, ἡ δι ἐπιστολῆς δηλωσειεν· οὐθ' ὅτι παντες τοῖς λεγομενοις μᾶλλον ἡ τοῖς γεγραμμενοις πιστευουσι, και των μεν ὡς εἰσηγηματων, των δ' ὡς ποιηματων ποιοῦνται την ἀκροασιν· ἀλλα προς τουτοις ἐν μεν ταῖς συνουσιαις, ἢν ἀγνοηθῇ τι των λεγομενων, ἡ μη πιστευθῇ, παρων ὁ τον λογον διεξιων, ἀμφοτεροις τουτοις ἐπημυνεν· ἐν δε τοῖς ἐπιστελλομενοις, ἄν τι συμβῇ τοιοῦτον, οὐκ ἐστιν ὁ διορθωσων· ἀποντος γαρ τοῦ γραψαντος, ἐρημα τοῦ βοηθησοντος ἐστιν. Οὐ μην ἀλλ' ἐπειδη συ μελλεις αὐτων ἐσεσθαι κριτης, πολλας ἐλπιδας ἐχω φανησεσθαι λεγοντας ἡμᾶς τι των δεοντων· ἡγοῦμαι γαρ ἁπασας ἀφελοντα σε τας προειρημενας δυσχερειας, αὐταῖς ταῖς πραξεσι προσεχειν τον νοῦν.

Καιτοι τινες ἤδη με των σοι πλησιασαντων ἐκφοβεῖν ἐπεχειρησαν, λεγοντες, ὡς συ τους μεν κολακευοντας τιμᾷς, των δε συμβουλευοντων καταφρονεῖς. Ἐγω δ' εἰ μεν ἀπεδεχομην τους λογους τους ἐκεινων, πολλην ἂν ἡσυχιαν εἶχον·

νῦν δ' οὐδεις ἂν με πεισειεν, ὡς οἷον τ' ἐστι. τοσουτον και ταῖς πραξεσι και τῇ γνωμῃ διενεγκεῖν, ἐαν μη τις τῶν μεν μαθητης, τῶν δ' ἀκροατης. τῶν δ' εὐεργετης γενηται, και πανταχοθεν προσαγηται, και συλλεξηται, δι' ὧν οἷον τ' ἐστιν ἀσκῆσαι την αὐτου διανοιαν: Ἐπηρθην μεν οὖν ἐπιστελλειν σοι δια ταυτα.

Λεγειν δε μελλων περι πραγματων και μεγαλων, και περι ὧν οὐδενι τῶν οντων ἀκοῦσαι μᾶλλον ἢ σοι προσηκει, νομιζω δεῖν με προθυμως οὑτω σε παρακαλειν. ἱνα γενῃ συγγραμματος ἀκροατης. Οὐ γαρ οὐτ' ἐγω τυγχανω φιλοτιμως διακειμενος, αὐτε συ λανθανεις ἡμᾶς πληρης ὢν τῶν τοιουτων. Προς δε τουτοις κἀκεῖνο πᾶσι φανερον, ὁτι τοῖς μεν ἐπιδειξεως δεομενοις αἱ πανηγυρεις ἁρμοττουσιν· ἐκεῖσε γαρ ἂν τις ἐν πλειστοις την αὑτου δυναμιν διασπειρειε· τοῖς δε διαπραξασθαι τι βουλομενοις, προς τουτον διαλεκτεον, ὁστις ταχιστα μελλει τας πραξεις ἐπιτελεῖν. τας ὑπο του λογου δηλωθεισας. Εἰ μεν οὖν μιᾷ τινι τῶν πολεων εἰσηγουμην, προς τους ἐκεινης προεστῶτας τους λογους ἂν ἐποιουμην· ἐπειδη δ' ὑπερ τῆς τῶν Ἑλληνων σωτηριας

παρεσκευασμαι συμβουλευειν.. προς τιν' ἀν δικαιοτερον διαλεχθειην, 'η προς τον πρωτευοντα του γενους, και μεγιστην ἐχοντα δυναμιν;

Και μην οὐδ' ἀκαιρως φανησομεθα, μημνημενοι περι τουτων. Ὁτε μεν γαρ Λακεδαιμονιοι την ἀρχην εἶχον, οὐ ῥαδιον 'ην ἐπιμεληθῆναι σοι των περι τον τοπον τον ἡμετερον. οὐδε τουτοις ἐναντια πραττειν· νῦν δε οὑτω πραττουσιν. ὡστ' ἀγαπᾶν, 'ην την χωραν την αὐτῶν ἐχωσιν, ἡ δ' ἡμετερα πολις ἡδεως ἀν αὐτην σοι παρασχοι συναγωνιζομενην, 'ην τι πραττης ὑπερ τῆς 'Ελλαδος ἀγαθον. Πῶς οὖν ἀν παραπεσοι καλλιων καιρος τοῦ νῦν σοι παροντος;

Και μη θαυμαζης, εἰ μητε δημηγορῶν. μητε στρατηγῶν. μητ' ἀλλως δυναστης ὠν, ουτως ἐμβριθες αἱροῦμαι πρᾶγμα. και δυοῖν ἐπιχειρῶ τοῖν μεγιστοιν. ὑπερ τε τῆς 'Ελλαδος λεγειν, και σοι συμβουλευειν. 'Εγω γαρ τοῦ μεν πραττειν τι τῶν κοινῶν, εὐθυς ἐξεστην, (δι' ἁς δε προφασεις, πολυ ἀν εἰν ἐργον λεγειν,) τῆς δε παιδευσεως τῆς τῶν μεν μικρῶν καταφρονουσης, τῶν δε μεγαλων ἐφικνεῖσθαι πειρωμενης, οὐκ 'αν φανειην 'απειρος γεγενημενος. Ὡστ' οὐδεν

'ατοπον, εἰ τι τῶν συμφεροντων ἰδεῖν 'αν μᾶλλον δυνηθειην, τῶν 'εκεῖ μεν πολιτευομενων, μεγαλην δε δοξαν 'εσχηκοτων. Δηλωσομεν δ' οὐκ εἰς 'αναβολας, εἰ τινος 'αξιοι τυγχανομεν 'οντες, 'αλλ' 'εκ τῶν ῥηθησεσθαι μελλοντων.

ΥΠΟΘΕΣΙΣ

III.

(Παρακαλεῖ Φιλιππον, παντα τ'αλλα 'αφεντα. πολεμῆσαι τῷ Περσῶν βασιλεῖ, μηδεν 'αναβαλλομενον. Wolf.)

ΙΣΟΚΡΑΤΗΣ ΦΙΛΙΠΠΩι ΧΑΙΡΕΙΝ.

Εγω διελεχθην μην και προς 'Αντιπατρον, περι τε τῶν τῇ πολει συμφεροντων, και σοι. 'εξαρκουντως, ὡς εμαυτον 'επειθον, 'εβουληθην δε γραψαι και προς σε περι ὧν μοι δοκεῖ πρακτεον εἶναι μετα την εἰρηνην, παραπλησια τοῖς 'εν τῷ λογῳ γεγραμμενοις, πολυ δ' 'εκεινων συντοματερα.

Κατ' 'εκεῖνον μεν γαρ τον χρονον συνεβουλευον, ὡς χρη διαλλαξαντα σε την τε πολιν την ἡμετεραν, και την Λακε-

δαιμονιαν. και την Θηβαιων, και την Αργειων, εἰς ὁμονοιαν καταστῆσαι τους Ἑλληνας. ἡγουμενος ἐαν τας προεχουσας πολεις πεισης οὑτω φρονεῖν, ταχεως και τας ἀλλας ἐπακολουθησειν. τοτε μεν οὖν ἀλλος ἦν καιρος· νῦν δε συμβεβηκε, μηκετι δεῖν πειθειν. Δια γαρ τον γεγενημενον, ἠναγκασμενοι παντες εἰσιν εὖ φρονεῖν και τουτων ἐπιθυμεῖν. ὧν ἐπενοουμην σε βουλεσθαι πραττειν και λεγειν, ὡς δεῖ παυσαμενους τῆς μανιας και τῆς πλεονεξιας, ἡν ἐποιοῦντο προς ἀλληλους εἰς την Ἀσιαν τον πολεμον ἐξενεγκεῖν.

Προς δε τουτοις κἀκεῖνο πολλοι παρ᾽ ἐμοῦ πυνθανονται· ποτερον εγω σοι παρῄνεσα ποιῆσαι την στρατειαν ἐπι τους Βαρβαρους, ἡ σοῦ διανοηθεντος συνειπον· ἐγω δε οὐκ εἰδεναι μεν φημι το σαφες· οὐ γαρ συγγεγενῆσθαι σοι προτερον, οὐ μην ἀλλ᾽ οἴεσθαι, σε μεν ἐγνωκεναι περι τουτων, ἐμε δε συνειρηκεναι ταῖς σαῖς ἐπιθυμιαις. Ταῦτα δ᾽ ἀκουοντες, ἐδεοντο μου παρακελευεσθαι σοι, και προτρεπειν ἐπι τῶν αὐτῶν τουτων μενειν· ὡς οὐδετοτε ἀν γενομενων οὐτε καλλιονων ἐργων, οὐτε ὠφελιμωτερων τοῖς Ἑλλη-

σιν, οὔτε ἐν καιρῷ μᾶλλον πραχθησομενων

Εἰ μεν οὖν εἶχον την αὐτην δυναμιν, ἥνπερ προτερον. και μη παντaπασιν 'ην ἀπειρηκως. οὐκ ἀν δ' ἐπιστολῆς διελεγομην, 'αλλα παρων νῦν αυτος παρωξυνον ἀν σε, και παρεκαλουν ἐπι τας πραξεις ταυτας. Νῦν δ' ὡς δυναμαι, παρακελευομαι σοι μη καταμελῆσαι τουτων, πριν ἀν τελος ἐπιθῆς αὐτοῖς. 'Εστι δε προς μεν ἀλλο τι τῶν 'οντων ἀπληστως ἐχειν, οὐ καλον. Αἱ γαρ μετριοτητες παρα τοῖς πολλοῖς εὐδοκιμοῦσι. δοξης δε μεγαλης και καλῆς ἐπιθυμεῖν. και μηδεποτ' ἐμπιπλασθαι προσηκει τοῖς πολυ τῶν ἀλλων διενεγκοῦσιν· ὁπερ σοι συμβεβηκεν. 'Ηγοῦ δε τοθ' ἐξειν αὐτην ἀνυπερβλητον, και τῶν σοι πεπραγμενων ἀξιαν. ὁταν τους μεν Βαρβαρους ἀναγκασῃς εἱλωτευειν τοῖς 'Ελλησι, πλην τῶν σοι συναγωνιζομενων, τον δε βασιλεα τον νῦν Μεγαν προσαγορευομενον. ποιησῃς τοῦτο πραττειν, ὁ ἀν συ προστατῃς. Ταῦτα δε κατεργασασθαι πολυ ῥᾷον ἐστιν ἐκ τῶν νυν παροντων, 'η προελθεῖν ἐπι την δυναμιν, και την δοξαν, ἡν ἐχεις παρα τῆς βασιλειας τῆς ἐξ ἀρχῆς ὑμῖν ὑπαρξασης· οὐδε γαρ ἐσται λοιπον ἐτι, πλην θεον γενεσθαι.

Χαριν δ' ἐχω τῷ χηρᾳ ταυτην μονην, ὁτι προηγαγεν εἰς τουτο μου τον βιον, ὡςϑ' ἁ νεος ὠν διενοουμην, και γραφειν ἐπεχειρουν ἐντε τῷ πανηγυρικῷ λογῳ, καὶ τῷ προς σε πεμφϑεντι, τουτων ἠδη τα μεν νυν γιγνομενα δια των σων ἐφορῶ πραξεων, τα δ' ἐλπιζω γενησεσϑαι.

IV.

ΥΠΟΘΕΣΙΣ.

(Διοδοτον ἀκροατην αὐτου και ἑταιρον γενομενον συν τῷ υἱῷ ἐκεινου συνιστησιν ὑπερφυως, και παραινεῖ Φιλιππῳ λεληϑοτως, σιμβουλους εὖ φρονουντας παραλαμβανειν, και προς την των φιλων παῤῥησιαν ἐν τῷ νουϑετεῖν οὐκ ἀηδως διακεῖσϑαι.

ΙΣΟΚΡΑΤΗΣ ΦΙΛΙΠΠΩι ΧΑΙΡΕΙΝ.

Ἐγω, καιπερ ἐπικινδυνου παῤ ἡμῖν ὀντος εἰς Μακεδονιαν πεμπειν ἐπιστολην, οὐ μονον νυν, ὁτε πολεμουμεν προς ὑμας, ἀλλα και της εἰρηνης οὐσης, ὁμως γραψαι προς σε εἱλομην περι Διοδοτου, δικαιον εἰναι νομιζων, παντας μεν περι πολ-

λοῦ ποιεῖσθαι τους ἐμαυτῷ πεπλησιακοτας, και γεγενημενους ἀξιους ἡμῶν· ουχ ἡκιστα δε τουτον, και δια την εὐνοιαν την εἰς ἡμᾶς, και την ἀλλην ἐπιεικειαν. Μαλιστα μεν οὖν ἐβουλομην ἀν αὐτον συσταθῆναι σοι δἰ ἡμῶν. Ἐπειδη δε δἰ ἑτερων ἐντετυχηκε σοι, λοιπον ἐστι μοι μαρτυρῆσαι περι αὐτου, και βεβαιῶσαι την γεγενημενην αὐτῷ προς σε γνῶσιν. Ἐμοι γαρ πολλῶν και παντοδαπῶν συγγεγομεναι ἀνδρῶν, και δοξας ἐνιαν μεγαλας ἐχοντων, τῶν μεν ἀλλων ἀπαντων, οἱ μεν τινες περι τον λογον, οἱ δε περι το διανοηθῆναι και πρᾶξαι δεινοι γεγονασιν, οἱ δ' ἐπι μεν του βιου σωφρονες, και χαριεντες, προς δε τας ἀλλας χρησεις και διαγωγας, παντα πασιν· οὗτος δε οὑτως εὐαρμοστον την φυσιν ἐσχεν, ὡστε ἐν ἁπασι τοῖς εἰρημενοις τελειοτατος εἶναι. Και ταῦτ' αὐκ ἀν ἐτολμων λεγειν, εἰ μη την ἀκριβεστατην πεῖραν αὐτος τε εἶχον αὐτου, και σε ληψεσθαι προσεδοκων. τα μεν αὐτον χρωμενον αὐτῷ, τα δε και παρα τῶν ἀλλων τῶν ἐμπειρων αὐτου πυνθανομενον. Ὧν οὐδεις, ὁστις οὐκ ἀν ὁμολογησειεν, εἰ μη λιαν εἰη φθονερος, και εἰπεῖν και βουλευσασθαι οὐδενος ἧττον οὗτον δυνασθαι, και δικαιο-

τατον και σωφρονεστατον εἶναι, και χρηματων ἐγκρατεστατον, ἐτι δε και συμβιον ἁπαντων ἡδιστον, και λιγυρωτατον· προς δε τουτοις πλειστην ἐχειν παῤῥησιαν, οὐχ ἡν οὐ προσῆκεν, ἀλλα την εἰκοτως ἀν μεγιστον γιγνομενην σημεῖον τῆς εὐνοιας τῆς προς τους φιλους· ἡν, τῶν δυνατῶν οἱ μεν ἀξιοχρεων τον ὀγκον του τῆς ψυχῆς ἐχοντες τιμῶσιν. ὡς χρησιμην οὖσαν, οἱ δε ἀσθενεστεροι τας φυσεις ὀντες, ἡ κατα τας ὑπαρχουσας ἐξουσιας, δυσχεραινουσιν, ὡς ὠν οὐ προαιροῦνται τι ποιεῖν βιαζομενην αὐτους· οὐκ εἰδοτες. ὡς οἱ μαλιστα περι του συμφεροντος ἀντιλεγειν τολμῶντες, οὗτοι πλειστην ἐξουσιαν αὐτοῖς τοῦ πραττειν ἁ βουλονται παρασκευαζουσιν. Εἰκος μεν γαρ τους ἀει προς ἡδονην λεγειν προχειρουμενους, οὐχ ὁπως μοναρχιας δυνασθαι ποιεῖν δυνατας, αἱ πολλους τους ἀναγκαιους ἐφελκονται κινδυνους, ἀλλ' οὐδε τας πολιτειας, αἱ μετα πλειονος ἀσφαλειας εἰσι. Δεῖ δε τους ὑπο τῷ βελτιστῳ παῤῥησιαζομενους, πολλα σαζειν δυνασθαι, και τῶν ἐπιδοξων διαφθαρησεσθαι πραγματων. Ὧν ἑνεκα προσηκει μεν παρα πᾶσι τοῖς μοναρχοις πλεον φερεσθαι τους της ἀληθειαν ἀποφαινομενους, τῶν ἀ-

παντα μεν προς χαριν, μηδεν δε ἀξιον χαριτος λεγοντων. Συνεβη δε ἐλαττον ἐχειν αὐτους παῤ ἐνιοις· ὁ και Διοδοτῳ παθειν συνεπεσε παρα τισι των κατα την Ἀσιαν δυναστευοντων· οἷς πολλα μεν χρησιμος γενομενος οὐ μονον τῳ συμβουλευειν, ἀλλα και τῳ πραττειν, και κινδυνευειν, δια το παῤῥησιαζεσθαι προς αὐτους, περι ὧν ἐκεινοις συνεφερε, και των οἰ κοι τιμων ἀπεστερηθη, και πολλων ἀλλων ἐλπιδων και μειζον ἰσχυσαν αἱ σων τυχοντων ἀνθρωπων κολακειαι των εὐεργεσιων των τουτου· δἰ ἁ δη και προς ὑμας ἀει προσιεναι διανοουμενος, ὀκνηρως εἶχεν, οὐχ ὡς ἁπαντας ὁμοιους εἶναι νομιζων τους ὑπερ αὐτον ὀντας· ἀλλα δια τας παῤ ἐκειναν γεγενημενας δυσχερειας, και προς τας παῤ ὑμων ἐλπιδας οὐ προθυμοτερος ἠν· παραπλησιον ἐμοι γε δοκει πεπονθας των πεπλευκοταν τισιν· οἱ πρωτον, ὁταν χρησανται χειμωσιν, οὐκετι θαῤῥουντες εἰσβαινουσιν εἰς την θαλασσαν, καιπερ εἰδοτες ὁτι και καλου πλου πολλακις ἐπιτυχειν ἐστιν. Οὐ μην ἀλλ᾽ ἐπειδη συνεστηκε σοι, καλως ποιει. Λογιζομαι γαρ αὐτῳ συνοισειν, μαλιστα μεν τῃ φιλανθρωπια τῃ σῃ λογιζομενος, ἡν ἐχειν ὑπειληφαι παρα τοις ἐξωθεν ἀνθρωποις·

ἔπειτα κομιζαν οὐκ ἀγνοεῖν ὑμᾶς, ὅτι παντων ἐστιν ἥδιστον, και λυσιτελες το πιστους ἅμα και χρησιμους φιλους κτᾶσθαι ταῖς εὐεργεσιαις, και τους τοιουτους εὖ ποιεῖν, ὑπερ ὧν πολλοι και τῶν ἀλλων χαριν ὑμῖν ἔξουσιν. Ἀπαντες γαρ οἱ χαριεντες τους τοῖς σπουδαιοις τῶν ἀνθρωπων καλῶς ὁμιλοῦντας ὁμοιως ἐπαινοῦσι, και τιμῶσιν, ὥσπερ αὐτοι τῶν ὠφελειῶν ἀπολαυοντες.

Ἀλλα γαρ Διοδοτον αὐτον οἶμαι σε μαλιστα προτρεψασθαι προς το φροντιζειν ἑαυτοῦ. Συνεπειθον δε και τον υἱον αὐτοῦ τῶν ὑμετερων ἀντεχεσθαι πραγματων, και παραδονθ' ὑμῖν ἑαυτον ὥσπερ μαθητην, ἐς τοὐμπροσθεν πειραθῆναι προελθεῖν. Ὁ δε ταῦτα μου λεγοντος, ἐπιθυμεῖν μεν ἔφασκε τῆς ὑμετερας φιλιας· οὐ μην ἀλλα παραπλησιον τι πεπονθεναι προς αὐτην, και προς τους στεφανιτας ἀγῶνας. Ἐκεινους γαρ νικᾶν μεν ἂν βουλεσθαι, καταβῆναι δ' εἰς αὐτους οὐκ ἂν τολμῆσαι, δια το μη μετασχηκεναι ῥωμης ἀξιας τῶν στεφανων, τῶν τε παρ' ὑμῶν τιμῶν εὔξασθαι δ' αὐτον προσδοκᾶν. Την τε γαρ ἀπειριαν την αὐτοῦ καταπεπλῆχθαι και την λαμπροτητα την ὑμετεραν, ἔτι δε και τα σχηματιον οὐν

εὐκρινὲς ’ον, ἀλλ’ ἔχον προφασιν, ἥν νομιζειν ἐμποδιεῖν αὐτον προς τα πολλα τῶν πραγματων.

Οὗτος μεν οὖν, ὅ, τι ἂν δοκῇ αὐτῷ συμφερειν τοῦτο πραξει· συ δε, ἐαν τε ἦ περι ὑμας τ’ ἡσυχιαν ἔχων διατριβῃ περι τουτους τους τοπους, ἐπιμελοῦ και τῶν ἀλλων μεν ἁπαντων, ὧν τυγχανει δεομενος. μαλιστα δε τῆς ἀσφαλειας, και τῆς τουτου και τῆς τοῦ πατρος αὐτοῦ, νομισας. ὥσπερ παρακαταθηκην ἔχειν τοῦτον. παρα τε τοῦ γηρως ἡμων, ὁ προσηκοντως ’αν πολλῆς τυγχανῃ προνοιας, και τῆς δοξης τῆς ὑπερεχουσης, εἰ τινος ἄρα σπουδῆς ἐστιν ’αξια, και εὐνοιας τῆς περι ὑμᾶς, ἣν ἔχων ἅπαντα τον χρονον διατετελεκα. Και μη θαυμασῃς. μητ’ εἰ μακροτεραν γεγραφα την ἐπιστολην, μητ’ εἰ τι περιεγροτερον, ’η πρεσβυτικωτερον εἰρηκαμεν ἐν αὐτῇ. Παντων γαρ τῶν ἀλλων ’αμελησας, ἑνος μονου ἐφροντισα, τοῦ φανῆναι σπουδαζων ὑπερ ἀνδρῶν φιλων, και προσφιλεστατων μοι γεγενημενων.

V.

ΥΠΟΘΕΣΙΣ.

(Συγχαιρει Ἀλεξάνδρῳ τῆς φιλοσοφιας, και ἐν ἐγκωμιου σχηματι παρακαλεῖ αὐτον χρῆσθαι τοῖς βελτιστοις τε και παιδεια διαφερουσι τῶν ἀνδρῶν. τῆς τῶν λογων δεινοτητος και πολιτικῆς ἐπιστημης μᾶλλον ἀντιποιουμενον ἠ τῶν ἐριστικῶν λογων διασυρων, οἶμαι, την Ἀριστοτελους παιδευσιν. Wolf.)

ΙΣΟΚΡΑΤΗΣ ΑΛΕΞΑΝΔΡΩι ΧΑΙΡΕΙΝ.

Πρὸς τον πατερα σου γραφων ἐπιστολην, ἄτοπον ᾤμην ποιησειν, εἰ περι τον αὐτον ὄντα σε τοπον ἐκεινῳ μητε προσειπω, μητε ἀσπασομαι, μητε γραψω τι τοιοῦτον, ὃ ποιησει τους ἀγνοοῦντας, μὴ νομιζειν ἤδη με παραφρονεῖν δια το γῆρας, μηδε παντα πασι ληρεῖν· ἀλλ᾽ ἔτι το καταλελειμμενον μοι μερος και λοιπον ὄν, οὐκ ἀναξιον εἶναι τῆς δυναμεως, ἣν ἔσχον νεωτερος ὤν.

Ἀκουω δε γε παντων λεγοντων, ὡς φιλανθρωπος εἶ, και φιλαθηναιος, και

φιλοσοφος. οὐκ 'αφρονας ποιῶν. 'αλλα νουνεχοντας. Τῶν τε γαρ πολιτῶν 'αποδεχεσθαι σε τῶν ἡμετερων οὐ τους 'ημεληκοτας αὐτῶν, και πονηρῶν πραγματων ἐπιθυμοῦντας, 'αλλ' οἷς συνδιατριβῶν οὐκ 'αν λυπηθεις, συμβαλλων τε και κοινωνῶν πραγματων οὐδεν 'αν βλαβεις, οὐδ' 'αδικηθεις, οἱοις περ χρη πλησιαζειν τους εὖ φρονοῦντας· τῶν τε φιλοσοφιῶν οὐκ 'αποδοκιμαζειν μεν οὐδε την περι τας ἐριδας, 'αλλα νομιζειν εἶναι πλεονεκτικην ἐν ταῖς ἰδιαις διατριβαῖς, οὐ μην ἁρμοττειν οὔτε τοῖς του πληθους προεστῶσιν, οὔτε τοῖς τας μοναρχιας ἐχουσιν. Οὐ γαρ συμφερειν, οὐδε πρεπειν τοῖς μεῖζον τῶν 'αλλων φρονοῦσιν, οὔτ' αὐτοῖς ἐριζειν προς τους συμπολιτευομενους, οὔτε τοῖς 'αλλοις ἐπιτρεπειν προς αὐτους 'αντιλεγειν. Ταυτην μεν οὖν οὐκ 'αγαπᾶν σε την διατριβην, προαιρεῖσθαι δε την περι τους λογους. οἷς χρωμεθα περι τας πραξεις τας προσπιπτουσας καθ' ἑκαστην την ἡμεραν. και μεθ' ὧν βουλευομεθα περι τῶν κοινῶν· δι' ὧν νῦν τε δοκεῖς περι τῶν μελλοντων ἐπιεικῶς τοῖς ἀρχομενοις προστατττειν. και οὐκ 'ανοητως, ἁ δεῖ ποιεῖν ἑκαστους. περι τε τῶν καλῶν και δικαιων, και τῶν τουτοις ἐ-

ναντιων ’ὀρθῶς κρινειν · πρὸς δε τουτοις τιμᾶν και κολαζειν, ὡς προσῆκον ἐστιν, ἑκατερους. Σωφρονεῖς οὖν ταῦτα μελετῶν. ’Ελπιδα γαρ τῷ τε πατρι και τοῖς ’αλλοις παρεχεις, ὡς ἀν πρεσβυτερος γενομενος ἐμμεινῃς τουτοις, τοσοῦτον προεξεις τῇ φροντισει τῶν ἀλλων, ὁσόν περ ὁ πατήρ σου διενηνοχεν ἁπαντων.

VI.

ΥΠΟΘΕΣΙΣ.

(Κατ’ ἀρχας αἰτιολογεῖ, διοτι οὐ προσεκει αὐτον εἰς Θετταλιαν ἀποδημεῖν. Εἶτα μακρᾷ χρησαμενος ἐφοδῳ, παραινεῖ, ὁτι δεῖ την τῶν συμπολιτευομενων εὐνοιαν προτιμῆσαι τῆς τυραννιδος. Wolf.)

ΙΣΟΚΡΑΤΗΣ ΤΟΙΣ ΙΑΣΟΝΟΣ ΠΑΙΣΙ ΧΑΙΡΕΙΝ.

Απηγγειλε τις μοι τῶν πρεσβευσαντων ὡς ὑμᾶς, ὁτι καλεσαντες αὐτον ἀνευ τῶν ἀλλων, ’ηρωτησατε, εἰ πεισθειην ἀποδημῆσαι τε, και διατριψαι παρ’ ὑμῖν; ἐγω δε ἑνεκα μεν τῆς ’Ιασονος και Πολυαλκους ξενιας, ἡδεως ἀν ἀφικοιμην ὡς ὑμᾶς·

οἶδα γαρ ἂν την ὁμιλιαν την γενομενην ἅπασιν ἡμῖν συνενεγκεῖν. Ἀλλα γαρ ἐμποδιζει με πολλα, μαλιστα μεν το μη δυνασθαι πλανᾶσθαι, και το με πρεπειν ἐπιξενοῦσθαι τοῖς τηλικουτοις. Ἐπειτα δ' ὅτι παντες οἱ πυθομενοι την ἀποδημιαν, δικαιως ἂν μου καταφρονησειαν, εἰ προῃρημένος τον ἀλλον χρονον ἡσυχιαν ἀγειν, ἐτι γηρως ἀποδημειν ἐπιχειροιην, ὅτ' εἰκος, εἰ και προτερον ἀλλοσε ποι διετρίβον, νῦν εἰκαδε σπευδειν, οὑτως ὑπογυιου μοι τῆς τελευτῆς οὐσες. Προς δε τουτοις φοβοῦμαι και την πολιν. Χρη γαρ τἀληθῆ λεγειν. Ὁρῶ γαρ τας συμμαχιας τας προς αὐτην γινομενας, ταχεως διαλυομενας. Εἰ δη τι συμβαιη και προς ὑμᾶς τοιοῦτο, πῶς ἂν και τας αἰτιας και τους κινδυνους διαφυγεῖν δυνηθειην. (ὁ χαλεπον ἐστιν,) ἀλλ' οὐκ αἰσχυνθειην 'αν. εἰτε δια την πολιν δοξαιμι τισιν ἀμελεῖν ὑμῶν, εἰτε δι' ὑμᾶς τῆς πολεως 'ολιγωρεῖν; μη κοινοῦ δε τοῦ συμφεροντος 'οντος, οὐκ οἶκ οἶδ' 'οπως 'αμφοτεροις 'αρεσκειν δυνηθειην. Αἱ μεν οὖν αἰτιαι, δι' ἃς οὐκ ἐξεστι μοι πλεῖν ὡς βουλομαι, τοσαῦται συμβεβηκασιν.

Οὐ μην περι γε των ἐμαυτοῦ μονον ἐπιστειλας, οἰομαι δεῖν 'αμελῆσαι τῶν ὑ-

μετεραν· 'αλλ' ἅπερ 'αν παραγενομενος προς ὑμᾶς διελεχθην, πειρασομαι και νῦν περι τῶν αὐτῶν τουτων, ὅπως 'αν δυνωμαι διεξελθεῖν. Μηδεν δ' ὑπολαβητε τοιοῦτον. ὡς 'αρ ἐγω ταυτην ἐγραψα την ἐπιστολην, οὐχ ἑνεκα τῆς ὑμετερας ξενιας, 'αλλ' ἐπιδειξιν ποιησασθαι βουλομενος· Οὐ γαρ εἰς τοῦθ' ἥκω μανιας, ὡστ' ἀγνοεῖν, ὁτι κρειττω μεν γραψαι τῶν προτερον διαδεδειγμενων, οὐδ' 'αν δυναιμην. τοσοῦτον τῆς 'ακμῆς ὑστερῶν· χειρω δ' εξενεγκων. πολυ φαυλοτεραν 'αν λαβοιμι δοξαν τῆς νῦν ἡμῖν ὑπαρχουσης· 'Επειτ' εἴπερ ἐπιδειξει προσεῖχον τον νοῦν, 'αλλα μη προς ὑμᾶς ἐσπουδαζον. οὐκ 'αν ταυτην ἐξ ἁπασῶν προειλομην την ὑποθεσιν, περι ἧς οὐ χαλεπον ἐστιν ἐπιεικῶς εἰπεῖν, 'αλλα πολυ καλλιους ἑτερας 'αν εὑρον, και μᾶλλον λογον εχουσας. 'Αλλα γαρ οὔτε προτερον οὐδεπωποτε ἐφιλοτιμηθην ἐπι τουτοις. 'αλλ' ἐφ' ἑτεροις μᾶλλον. ἁ τους πολλους διαλεληθεν, ουτε νυν ταυτην ἐχων την διανοιαν ἐπραγματευσαμην· 'αλλ' ὑμᾶς μεν ὁρῶν ἐν πολλοῖς και μεγαλοις πραγμασιν 'οντας, αὐτος δε 'αποφηνασθαι βουλομενος, ἣν ἐχω γνωμην περι αὐτῶν, ἡγοῦμαι συμβουλευειν μεν 'ακμην ἐχειν. Αἱ γαρ ἐμπειριαι παιδευουσι

τους τηλικουτους, και δοκοῦσι μᾶλλον τῶν ἀλλων δυνασθαι καθορᾶν το βελτιστον· εἰπεῖν δε περι τῶν προτεθεντων ἐπιχαριτως. και μουσικῶς, και διαπεπονημενως, οὐκ ἐτι τῆς ἡμετερας ἡλικιας ἔργον ἐστιν. Ἀλλ' ἀγαπῴην ἀν, εἰ μη παντταπασιν ἐκλελυμενως διαλεχθειην περι αὐτῶν.

Μη θαυμαζητε δε, ἀν τι φαινωμαι λεγων, ὧν προτερον ἀκηκοατε· τῶν μεν γαρ ἰσως ἀκων ἀν τυχοιμι, το δε, και προειδως εἰ πρεπον ἐστι λεγειν, προσλαβοιμι. Και γαρ ἀν ἀτοπος εἰην, εἰ τους ἀλλους ὁρῶν τοῖς ἐμοῖς χρωμενους, αὐτος μονος ἀπεχοιμην τῶν γ' ὑπ' ἐμοῦ προτερον εἰρημενων. Τουτων δ' ἑνεκα ταῦτα προεῖπον, ὁτι το πρῶτον ἐπιφαινομενον, ἐν τῶν θρωλλουμενων ἐστιν. Εἰθισμαι γαρ λεγειν προς τους περι την φιλοσοφιαν την ἡμετεραν διατριβοντας, ὁτι τοῦτο πρῶτον δεῖ σκεψασθαι, τι τῷ λογῳ και τοῖς μερεσι τοῦ λογου διαπρακτεον ἐστιν. Ἐπειδαν δε τοῦθ' εὑρωμεν, και διακριβωσωμεθα, ζητητεον εἰναι φημι τας ἰδεας, δι' ὧν ταῦτα ἐξεργασθησεται, και ληψεται τελος, ὁπερ ὑπεθεμεθα. Και ταῦτα φραζομεν περι τῶν λογων. Ἐστι δε τοῦτο το στοιχεῖον και κατα τῶν ἀλλων ἁπαντων,

κατα τῶν ὑμετερων πραγματων. Οὐδεν γαρ οἷον τε ἐστι πραχθῆναι νουνεχοντως, ἐαν μη τουτο πρῶτον μετα πολλῆς προνοιας λογιζησθε, και βουλευσησθε, πῶς χρη τον ἐπιλοιπον χρονον ὑμῶν αὐτῶν προστῆναι, και τινα βιον προελεσθαι και ποια δοξης ὀρεχθῆναι, και ποτερας τῶν τιμῶν ἀγαπῆσαι, ποτερον τας παρ' ἑκοντων γινομενας, ἠ τας παρ' ἀκοντων τῶν πολιτῶν, ταῦτα δε διορισαμενους, τοτ' ἰδια τας πραξεις τας καθ' ἑκαστην την ἡμεραν σκεπτεον, ὁπως συντεινωσι προς τας ὑποθεσεις τας ἐξ ἀρχῆς γινομενας. Και τουτον μεν τον τροπον ζητοῦντες, και φιλοσοφοῦντες, ὥσπερ σκοποῦ κειμενου στοχασεσθε τῇ ψυχῇ, και μαλλον ἐπιτευξεσθε τοῦ συμφεροντος. Ἐαν δε μηδεμιαν ποιησησθε τοιαυτην ὑποθεσιν, ἀλλα το προσπιπτον ἐπιχειρῆτε πραττειν, ἀναγκαῖον ἐστιν, ὑμᾶς ταῖς διανοιαις πλανᾶσθαι, και πολλῶν διαμαρτανειν πραγματων.

Ἰσως οὖν ἀν τις τῶν εἰκῆ ζῆν ἡρημενων, τους μεν τοιουτους λογισμους διασυρειν ἐπιχειρησειεν, ἀξιοιη δ' ἀν ἠδη με συμβουλευειν περι τῶν προειρημενων. Ἐστιν οὖν οὐκ ὀκνητεον ἀποφηνασθαι περι αὐτῶν, ἁ τυγχανω γινωσκων. Ἐμοι γαρ ἀσφαλεστερος βιος εἶναι δοκεῖ, και βελ-

τιῶν, ὁ τῶν ἰδιατευοντων, ἠ ὁ τῶν τυραννιωντων, και τας τιμας ἡδιους νομιζω τας παρα τῶν μεγα φρονουντων, ἠ τας παρα τῶν δουλευοντων. Και περι τουτων λεγειν ἐπιχειρησω. Καιτοι με οὐ λεληθεν, ὁτι πολλους ἐξω τους ἐναντιουμενους, και μαλιστα τους περι ὑμᾶς ὀντας. Οἶμαι γαρ οὐχ ἡκιστα τουτους ἐπι την τυραννιδα παροξυνειν ὑμᾶς. Σκοπουσι γαρ οὐ πανταχῆ την φυσιν τοῦ πραγματος, ἀλλα παραλογιζονται σφᾶς αὐτους. Τας μεν γαρ ἐξουσιας και τα κερδη και τας ἡδονας ὁρῶσι, και τουτων ἀπολαυσεσθαι προσδοκῶσι, τας δε ταραχας, και τους φοβους, και τας συμφορας τας τοῖς ἀρχουσι συμπιπτουσας, και τοῖς φιλοις αὐτῶν, οὐ θεωροῦσιν· ἀλλα πεπονθασιν. ὁπερ οἱ τοῖς αἰσχιστοις και παρανοματατοις τῶν ἐργων ἐπιχειροῦντες. Και γαρ ἐκεῖνοι τας μεν πονηριας τας τῶν πραγματων οὐκ ἀγνοοῦσιν, ἐλπιζουσι δε, ὁσον ἀγαθον ἐστιν ἐν αὐταῖς τοῦτο μεν ἐκληψεσθαι, τα δε δεινα παντα τα προσοντα τῷ πραγματι, και τα κακα διαφευξεσθαι, και διωκησειν τα περι σφᾶς, κινδυνων ὀντας πορρω, τῶν δ' ὠφελειῶν ἐγγυς. Τους μεν οὖν ταυτην ἐχοντας την διανοιαν, ζηλῶ τῆς ῥα-

θυμιας, αὐτος δε αἰσχυνθειην ἂν, εἰ συμβουλευων ἑτεροις, ἐκεινων ἀμελησας, το ἐμαυτῳ συμφερον ποιοιην, και μη παντἀπασιν ἐξω θεις ἐμαυτον και των ὠφελειων, και των ἀλλων ἁπαντων, τα βελτιστα παραινοιην. Ὡς οὐν ἐμου ταυτην ἐχοντος την γνωμην, οὑτως ἐμοι προσεχειε τον νουν.

VII.

ΥΠΟΘΕΣΙΣ.

(Τυραννον τινα της ἐπιεικειας ἀποδεχεται, και ἐγκωμιου σχηματι φιλανθρωπιαν εἰς τους ὑπηκοους, και εἰς τοὐπιον ἐν τοις μαλιστα ἐπιτηδευειν παρακαλει. Ἐπειτα ἀξιοι αὐτον Αὐτοκρατορι τινι ἐπαρκεσαι. Wolf.)

ΙΣΟΚΡΑΤΗΣ ΤΙΜΟΘΕΩι ΧΑΙΡΕΙΝ.

Περι μεν της οἰκειοτητος της ὑπαρχουσης ἡμιν προς ἀλληλους, οἰμαι σε πολλων ἀκηκοεναι. Συγχαιρω δε σοι, πυνθανομενος ὁτι πρωτον μεν τῃ δυναστειᾳ τῃ παρουσῃ καλλιον γαρ που πατρος, και φρονιμωτερον. Ἐπειθ' ὁτι προαιρῃ δοξαν καλην κτησασθαι μαλλον, ἠ

πλοῦτον μεγαν συναγαγεῖν. Σημεῖον γαρ οὐ μικρον ἐκφερεις ἀρετῆς, ἀλλ' ὡς δυνατον, μεγιστον, ταυτην ἐχων την γνωμην· ὡστ' ἠν ἐμμεινης τοῖς περι σοῦ νῦν λεγομενοις, οὐκ ἀπορησεις τῶν ἐγκωμιασομενων την τε φρονησιν την σην, και την προαιρεσιν ταυτην. Ἡγοῦμαι δε και τα διηγουμενα περι τοῦ πατρος, συμβαλλεσθαι μεγιστην πιστιν προς το δοκεῖν εὖ φρονεῖν σε, και διαφερειν τῶν ἀλλων. Εἰωθασι γαρ οἱ πλεῖστοι τῶν ἀνθρωπων, οὐχ οὑτως ἐπαινεῖν και τιμᾶν τους ἐκ τῶν πατερων τῶν εὐδοκιμουντων γεγονοτας, ὡς τους ἐκ τῶν δυσκολων και χαλεπῶν, ἤν περ φαινονται μηδεν ὁμοιοι τοῖς γονεῦσιν ὀντες. Μᾶλλον γαρ ἐπι παντων κεχαρισμενον αὐτοῖς ἐστι το παρα λογον συμβαν ἀγαθον, τῶν εἰκοτως και προσηκοντως γιγνομενων.

Ὧν ἐνθυμουμενον, χρη ζητεῖν και φιλοσοφεῖν, ἐξ οὗ τροπου, και μετα τινων, και τισι συμβουλοις χρωμενος, τας τε τῆς πολεως ἀτυχιας ἐπανορθωσεις, και τους πολιτας ἐπι τε τας ἐργασιας και την σωφροσυνην προτρεψεις, και ποιησεις αὐτους ἡδιον ζῆν, και θαῤῥαλεωτερον, ἠ τον παρελθοντα χρονον. Ταῦτα γαρ ἐστιν ἐργα τῶν ὀρθῶς και φρονι-

μας δυναστευόντων. Ὧν ἔνιοι καταφρονή-
σαντες, οὐδὲν ἄλλο σκοποῦσι, πλὴν ὅπως
αὐτοί τε ὡς μετὰ πλείστης ἀσελγείας διά-
ξουσι, τῶν τε πολιτῶν τοὺς βελτίστους
καὶ φρονιμωτάτους ἀμυνοῦνται, καὶ δυσ-
μολογήσουσι· κακῶς εἰδότες, ὅτι προσή-
κει τοὺς εὐφρονοῦντας, καὶ τοὺς τὴν τι-
μὴν ταύτην ἔχοντας. μὴ τοῖς τῶν ἀλ-
λων κακοῖς ἑαυτοῖς ἡδονὰς παρασκευάζε-
ιν, ἀλλὰ ταῖς αὑτῶν ἐπιμελείαις τοὺς
πολίτας εὐδαιμονεστέρους ποιεῖν· μηδὲ
πικρῶς μὲν καὶ χαλεπῶς διακεῖσθαι πρὸς
ἅπαντας ἀμελεῖν δὲ τῆς αὑτῶν σωτηρίας,
ἀλλ᾽ αὐτῷ πρᾴως καὶ νομίμως ἐπιστατεῖν
τῶν πραγμάτων, ὥστε οὐδένα αὐτοῖς
τολμᾶν ἐπιβουλεύειν· μετὰ τοιαύτης δ᾽
ἀκριβείας τὴν τοῦ σώματος ποιεῖσθαι φυ-
λακὴν, ὡς ἁπάντων αὐτοὺς ἀνελεῖν βου-
λομένων. Ταύτην γὰρ τὴν διάνοιαν ἔχον-
τες, αὐτοί τ᾽ ἂν εἶεν ἔξω τῶν κινδύνων,
καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησιν εὐδοκιμο-
ῖεν· ὧν ἀγαθὰ μείζω χαλεπὸν ἐστιν εὑ-
ρεῖν. Ἐνεθυμήθην δὲ μεταξὺ γράφων ὡς
εὐτυχῶς ἅπαντα σοι συμβέβηκε. Τὴν μὲν
γὰρ εὐπορίαν. ἣν ἀναγκαίως ἔχει κτήσα-
σθαι τυραννικῶς, μεταβίας πολλῆς καὶ
ἀπεχθείας ὁ πατὴρ σοι καταλέλοιπε, τὸ
δὲ χρῆσθαι τούτοις καλῶς τε καὶ φιλαν-

θραπας, ἐπι σοι γεγονεν· ὧν χρη σε πολλην ποιεῖσθαι την ἐπιμελειαν.

Ἁ μεν οὖν ἐγω γινωσκω, ταῦτ' ἐστιν. Ἐχει δε οὕτως· εἰ μεν ἐρᾷς χρηματων, και πολλῆς δυναστειας και κινδυνων, δι' ὧν αἱ κτησεις τουτων εἰσιν, ἑτερους σοι συμβουλους παρακλητεον· εἰ δε ταῦτα μεν ἱκανῶς ἐχεις, ἀρετῆς δε και δοξης καλῆς, και τῆς παρα τῶν πολλῶν εὐνοιας ἐπιθυμεῖς, τοῖς τε λογοις τοῖς ἐμοῖς προσεκτεον τον νοῦν ἐστι, και τοῖς καλῶς τας πολεις τας αὐτῶν διοικοῦσιν, ἁμιλλητεον, και πειρατεον αὐτῶν διενεγκεῖν. Ἀκουω δε και Κλεομμιν τον ἐν Μηθυμνῃ, ταυτην ἐχοντα την δυναστειαν, περι τε τας ἀλλας πραξεις καλον τε καγαθον εἶναι, και φρονιμον, και τοσουτον ἀπεχειν τους τινας ἀποκτεινειν, ἡ φυγαδευειν, ἡ δημευειν τας οὐσιας, ἡ ποιεῖν ἀλλο τι κακον, ὡστε πολλην ἀσφαλειαν παρεχειν τοῖς συμπολιτευομενοις, καταγειν δε τους φυγοντας, ἀποδιδοναι δε τοῖς μεν κατιοῦσι τας κτησεις, ἐξ ὧν ἐξεπεσον, τοῖς δε πριαμενοις, τας τιμας τας ἑκαστοις γιγνομενας· προς δε τουτοις καθοπλιζειν ἁπαντας τους πολιτας, ὡς οὐδενος μεν ἐπιχειρησοντος περι αὐτον νεωτεριζειν, Ἡν δ' ἀρα τινες τολμη-

σωσιν, ἡγουμενος, λυσιτελειν αυτῳ τεθναναι μαλλον τοιαυτην αρετην ενδειξαμενῳ τοις πολιταις, ἡ ζην πλειω χρονον των αλλων, τη πολει των μεγιστων κακων αιτιῳ γενομενῳ.

Ἐτι δ' αν πλειω σοι περι τουτων διελεχθην ισως αν, και χαριεστερον, ει μη παντάπασιν εδεησε με δια ταχεων γραψαι την επιστολην. Νυν δε σοι μεν αυθις συμβουλευσομεν, αν μη κωλυη με το γηρας. Ἐν δε τῳ παροντι περι των ιδιων δηλωσομεν.

Αυτοκρατωρ γαρ ὁ τα γραμματα φερων, οικειως ἡμιν εχει. Περι τε γαρ τας αυτας διατριβας γεγονε, και τη τεχνη τη αυτου κεχρημαι. και το τελευταιον πολλακις περι της αποδημιας της ως σε συμβουλος εγενομην αυτῳ. Δια δη ταυτα παντα βουλοιμην αν σε καλως αυτῳ χρησθαι, και συμφεροντως αμφοτεροις ἡμιν, και γενεσθαι φανερος, ὁτι μερος τι δι' εμε γινεται των δεοντων αυτῳ.

Και μη θαυμασης, ει σοι μεν ουτως επιστελλω προθυμως, Κλεαρχου δε μηδεν πωποτ' εδεηθην. Σχεδον γαρ απαντες οἱ παρ' ὑμων καταπλεοντες, σε μεν φασιν ὁμοιον ειναι τοις κρατιστοις των εμοι πεπλησιακοτων, Κλεαρχον δε κατα μεν

ἐκεῖνον τον χρονον, ὅτ' ἦν παρ' ἡμῖν, ὡμολογουν, ὅσοι ποτε ἐνετυχον, ἐλευθεριωτατον εἶναι, και πρᾳοτατον, και φιλανθρωποτατον τῶν μετεχοντων τῆς διατριβῆς. Ἐπειδη δε την δυναμιν ἐλαβε, τοσοῦτον ἐδοξε μεταπεσεῖν, ὥστε παντας θαυμαζειν τους προτερον αὐτον γινωσκοντας· προς μεν οὖν ἐκεῖνον δια τας αἰτιας ταυτας ἀπηλλατριωθην· σε δ' ἀποδεχομαι, και προ πολλοῦ ποιησαιμην γ' ἂν οἰκειως διατεθῆναι προς ἡμᾶς. Δηλωσεις δε και συ δια ταχεων, εἰ την αὐτην ἐχεις γνωμην ἡμῖν. Αὐτοκρατορος τε γαρ ἐπιμελησῃ, και πεμψεις ἐπιστολην ὡς ἡμᾶς, ἀνανεουμενος την φιλιαν και ξενιαν την προτερον ὑπαρχουσαν. Ἐρρωσο και εἰ του ἀλλου δεῃ, παρ' ἡμῶν, ἐπιστελλε.

VIII.

ΥΠΟΘΕΣΙΣ.

(Ἀξιοῖ τοὺς Μιτυληναίους, Ἀγήνορα μουσικὸν, τῶν υἱωνῶν αὐτοῦ διδάσκαλον γενόμενον, κατάγειν Wolf.)

ΤΟΙΣ ΜΙΤΥΛΗΝΑΙΩΝ ΑΡΧΟΥΣΙ.

Οἱ παῖδες οἱ Ἀφαρέως, υἱδεῖς δ' ἐμοὶ, παιδευθέντες ὑπὸ Ἀγήνορος τα περι την μουσικην, ἐδεήθησαν μου γραμματα πεμψαι πρὸς ὑμᾶς, ὅπως ἂν, ἐπειδη και τῶν ἄλλων τινας κατηγαγετε φυγαδαν, και τουτον καταδεξησθε. και τον πατερα, και τους ἀδελφους. Λεγοντος δε μου προς αὐτους, ὅτι δεδοικα, μη λιαν 'ατόπος δοξω, και περιεργος. ζητῶν εὑρισκεσθαι τηλικαῦτα το μεγεθος παρ' ἀνδρῶν, οἷς οὐδεπωποτε προτερον οὔτε διελεχθην, οὔτε συνηθης ἐγενομην· 'ακουσαντες ταῦτα, πολυ μᾶλλον ἐλιπαρουν. Ὡς δε οὐδεν αὐτοῖς 'απεβαινεν, ὧν 'ηλπιζον, ἅπασιν 'ησαν καταφανεῖς, ἀηδῶς διακειμενοι, και χαλεπῶς φεροντες. Ὁρῶν δ' αὐτους λυπουμενους μᾶλλον του προσηκοντος, τελευτῶν ὑπεσχο-

μην γραψειν την ἐπιστολην, και πεμψειν ὑμῖν. Περι μεν οὖν τοῦ μη δικαιως 'αν δοκεῖν μωρος εἶναι, και 'οχληρος, ταῦτ' ἐχω λεγειν.

'Ηγοῦμαι δε καλῶς 'αν ὑμᾶς βεβουλεῦσθαι, και διαλλαττομενους τοῖς πολιταις τοῖς ὑμετεροις, και πειρωμενους τους μεν φευγοντας 'ολιγους ποιεῖν, τους δε συμπολιτευομενους πολλους, και μιμουμενους τα περι την στασιν την πολιν την ἡμετεραν. Μαλιστα δ' 'αν τις ὑμᾶς ἐπαινεσειεν, ὁτι τοῖς κατιοῦσιν 'αποδιδοτε την οὐσιαν. 'Επιδεικνυτε γαρ και ποιεῖτε πᾶσι φανερον ὡς οὐ τῶν χρηματων ἐπιθυμησαντες τῶν 'αλλοτριων, 'αλλ' ὑπερ τῆς πολεως δεισαντες, ἐποιησασθε την ἐκβολην αὐτῶν.

Οὐ μην 'αλλ' εἰ και μηδεν ὑμῖν ἐδοξε τουτων, μηδε προσεδεχεσθε μηδενα τῶν φυγαδων, τουτους γε νομιζω συμφερειν ὑμῖν καταγειν. Αἰσχρον γαρ την μεν πολιν ὑμᾶν ὑπο παντων ὁμολογεῖσθαι μουσικωτατην εἶναι, και τους ονομαστοτατους ἐν ταυτῃ, τυγχανειν παρ' ὑμῖν γεγονοτας, τον δε προεχοντα τῶν νῦν 'οντων περι την ἱστοριαν τῆς παιδειας ταυτης, φευγειν ἐκ τῆς τοιαυτης πολεως. Και τους μεν 'αλλους 'Ελληνας, τους

διαφεροντας 'επι τῳ τῶν καλῶν 'επιτηδευματων, και μηδεν προσηκοντας, ποιεῖσθαι πολιτας, ὑμᾶς δε τους εὐδοκιμοῦντας τε παρα τοῖς 'αλλοις, και μετασχοντας τῆς αὐτῆς φυσεως περιορᾶν παρ' ἑτεροις μετοικοῦντας. Θαυμαζω δ', ὁσαι τῶν πολεων, μειζονων δωρεῶν ἀξιοῦσι τους ἐν τοῖς γυμνικοῖς ἀγῶσι κατορθοῦντας μᾶλλον, 'η τους τῇ φρονησει και τῇ φιλοπονιᾳ, τῶν χρησιμων εὑρισκοντας τι· και μη συνορῶσιν, ὁτι πεφυκασιν αἱ μεν περι την ῥωμην και το ταχος δυναμεις, συναποθνησκειν τοῖς σωμασιν. αἱ δ' ἐπιστῆμαι παραμενειν. ἁπαντα τον χρονον 'ωφελοῦσαι τους χρωμενους αὐταῖς. Ὧν ἐνθυμουμενους χρη τους νοῦν ἐχοντας, περι πλειστου μεν ποιεῖσθαι τους καλῶς και δικαιως τῆς αὐτῶν πολεως ἐπιστατοῦντας, δευτερους δε τους τιμην και δοξαν αὐταῖς καλην συμβαλλεσθαι δυναμενους. Ἁπαντες γαρ ὡσπερ δειγμασι τοῖς τοιουτοις χρωμενοι, και τους ἀλλους τους συμπολιτευομενους ὁμοιους εἶναι τοῖς τοιουτοις νομιζουσιν.

Ἰσως οὖν εἶποι τις ἀν προσηκει τους αἱρεσθαι τι βουλομενους, μη το πραγμα μονον ἐπαινεῖν, ἀλλα και σφᾶς αὐτους

δεικνυειν δικαιως ἀν τυγχανειν, περι ὡν ἀν ποιῶνται τους λογους.

Ἐχει δ' οὑτως· ἐγω τοῦ μεν πολιτευεσθαι και ῥητορευειν ἀπεσχον. Οὐτε γαρ φωνην εἶχον ἱκανην, οὐτε τολμαν. Οὐ μην δε γε παντaπασιν ἀχρηστος ἐφυν, οὐδε ἀδοκιμος, ἀλλα τοῖς προαιρουμενοις λεγειν ἀγαθον τι περι ὑμῶν, και τῶν ἀλλων συμμαχων, φανειην ἀν και συμβουλος και συναγωνιστης γεγενημενος· αὐτος τε πλειους λογους πεποιημενος ὑπερ τῆς ἐλευθεριας, και τῆς αὐτονομιας τῶν Ἑλληνων, ἡ συμπαντες οἱ τα βηματα κατατετριφοτες. Ὑπερ ὡν ὑμεῖς ἀν μοι δικαιως πλειστην ἐχοιτε χαριν. Μαλιστα γαρ ἐπιθυμοῦντες διατελεῖτε τῆς τοιαυτης καταστασεως. Οἶμαι δ' εἰ Τιμοθεος και Κονων ἐτυγχανον ζῶντες, Διοφαντος δ' ἡκεν ἐκ τῆς Ἀσιας, πολλην ἀν αὐτους ποιησασθαι σπουδην, εὑρεσται με βουλομενους, ὡν ἐτυγχανον χρειαν ἐχοντες. Περι ὡν οὐκ οἶδ' ὁ, τι δεῖ πλειω λεγειν. Οὐδεις γαρ ὑμῶν οὑτως ἐστι νεος, οὐδ' ἐπιλησμων ὁστις οὐκ οἶδε τας ἐκεινων εὐεργεσιας.

Οὑτω δ' ἀν μοι δοκοιητε καλλιστα βεβουλεῦσθαι περι τουτων, εἰ σκεψεσθε τις ἐστιν ὁ δεομενος, και ὑπερ ποιων τι-

νων ἀνθρωπων. Εὑρησετε γαρ ἐμε μεν οἰκειοτητα κεχρημενον τοῖς μεγιστων ἀγαθῶν αἰτιοις γεγενημενοις ὑμῖν τε και τοῖς ἀλλοις· ὑπερ δε ὡν δεομαι τοιουτους ὀντας, οἱους τους μεν πρεσβυτερους, και τους περι την πολιτειαν ὀντας μη λυπεῖν, τοῖς δε νεωτεροις διατριβην παρεχειν ἡδεῖαν, και χρησιμην, και πρεπουσαν τοῖς τηλικουτοις.

Μη θαυμαζητε δ'. εἰ ῥαδιως ουτω γραφω, και περι μεν των ἀλλων ἀπαντων, και τῶν φιλτατων την ἐπιστολην πεπομφα. Βουλομαι γαρ ἀμφοτερα, τοῖς τε παισιν ἡμῶν χαρισασθαι, και ποιῆσαι φανερον, ὁτι καν μη δημηγορῶσιν. ἀλλα μονον μιμῶνται τον τροπον τον ἐμον, οὐκ ἠμελημενως ἑξουσιν ἐν τοῖς ἀλλοις. Ἐν ἐτι λοιπον· ἡν ἀρα δοξῃ τι τουτων ὑμῖν πραττειν, δηλοῦν Ἀγηνορι τε και τοῖς ἀδελφοῖς, ὁτι μερος τι και δι' ἐμε τυγχανουσιν, ὡν αὐτοι λιαν ἐπιθυμοῦσι τυγχανειν.

X.

ΥΠΟΘΕΣΙΣ.

(Διονυσιον τον τῆς Σικελιας τυραννον, (οἶμαι δε τον νεωτερον ,) εἰς ὑπεροπτικον ὀγκον ἐξοκειλαντα, τῶν τε κατα φιλοσοφιαν παραινεσεων καταφρονοῦντα, σωφρονιζειν πειρᾶται Wolf.)

ΙΣΟΚΡΑΤΗΣ ΔΙΟΝΥΣΙΩι.

Προπομποι, και ῥαβδοῦχοι, και κηρυκες, και θρονων ὑψηλοτατων ἐπιτευξις, φιλοσοφιας εἰσιν ἀχλυς, και διαιρετικωτατος πεφυκε τῶν ἀρετῶν χαρισμος.

Οὐκ ἠμειψας μετα τῆς τυχης την φυσιν. Ἐτι τον θυλακον ἐχεις δερματινον. Θνητην γαρ ἐχεις ἐκ προοιμιου την συστασιν. Τι δῆτα το κενον τοῦτο δοξαριον ἐπι τοσοῦτον τον πηλινον ἀσκον διεφυσησε; μεγαλης ἀνοιας ἐνεφορηθης, ὦ δυστηνε, και τῆς φυσεως την γνωσιν ἀφῃρησαι. Οὑτω τα μετεωρα τῆς τυχης κινηματα ἐκστῆναι σε τῆς παλαι θεωριας ἠναγκασαν, και τῆς σωφρονος ἐκεινης μανιας ἀπαναχωρεῖν παρεσκευασαν; Ἠν σοι παλαι μεταρσιον το χαμαιζηλον, νῦν

δε και χθαμαλον και περιγειον· ὁ τῆς τυχης ὁρος ἀκροτατος. Οὐκοῦν τῆς ψευδοῦς εὐδαιμονιας ἀφιστασο, και την δραπετιν τυχην δραπετευε· προφθανων γαρ την ἀγνωμονα, ἀφνω την μεταβολην οὐ δυσφορησεις προσπιπτουσαν.

Μαρκιανω, και Μαρκελλινω.

Εβϐλομεθα μεν υμᾶς σφοδροις ημῶν ὀντας ϐτως ἐραστας, και παροντας ιδειν. Αλλα επειδη τϐτο ουκ ἐνι. Το, τε γαρ του οδου μῆκος, ἠ, τε του χειμῶνος ὠρα, και ο των ληστων φοβος ικανα διατειχισαι την αποδημιαν· τϐς γοῦν τα γραμματα κομιζοντας παρ ῆμῶν προς υμᾶς επειτυμοῦμην συνεχεστερον ἡμεῖν περιτυγχανειν, ωστε δυνασθαι μετα δαψιλειας πληρῶσαι την επιθυμιαν την ημετεραν· αλλ᾽ επειδη και τοῦτο παρειλετο ἡμᾶς ἡ ἐρημια τοῦ χωριου εν ᾧ διατριβομην. και το σφοδρα αὐτο ἀπωκισθαι τοῦ δημοσιας ὁδοῦ, παρακαλῶ ἀν μη συνεχῶς τϐτο ποιῶμην. συγγνωμην ἡμεῖν νεμειν, και γραφονταν ἡμῶν και σιγωνταν, την αὐτην ἐχειν περι τον ἀγαπης τον ἡμετερας ψῆφον, λογιζομενους ὁτι την σιγην ἡμῖν

πολλακις μακροτεραν ἡ ἐρημια τȣ τοπȣ, ȣχ' ἡ τȣ τροπον ῥαθυμια ἐργαζεται.

Αγαπητῷ.

Οἶδα σȣ την αγαπην την γνησιαν και θερμην. την ἀδολον και ειλικρινῆ, και ȣτε πραγματων ὀχλω, ȣτε χρονȣ πληθει, ȣτε ὁδοῦ μηκει μαραινομενην· οἶδα και ὁπως ἐπιθυμεῖς και αὐτοψει ἡμᾶς θεασασθαι, και τον κατα προσωπον απολαῦσαι συνȣσιας. Αλλ' επειδη τȣτο ἠδη ἐργῶδες, και δια το τοῦ οδȣ μῆκος, και δια την τȣ ἐτȣς ὡραν, και τον τοῦ Ισαυρων φοβον, την δια των πραγματων παρεχε ἡμῖν ευφροσυνην. συνεχῶς δηλῶν τα περι της ὑγειας της σῆς, και τȣ οικου σȣ παντος· ἀν γαρ τοιαῦτα δεχωμεθα συνεχῶς γραμματα παρα τῆς σῆς εὐγενειας, και θαυμασιοτητος, ȣ την τυχοῦσαν, και ἐν ἐρημια διατριβοντες καρπωσομεθα την παρακλησιν, και γαρ ουκ ἀγνοεῖς ὁπως ἡμῖν περισπουδαστον το ἐν ὑγιεια σε εἶναι, δεσποτα μȣ αιδεσιμοτατε και θαυμασιωτατε.

Αλφια.

Μακαριος και τρισμακαριος εἶ, και πολλακις τῦτο, τοιαῦτα εργαζομηνος, και τοιαυταις επιτρεχων πραγματειαις, αι πολυν ἐν ϋρανοῖς παραποτιθενται σοι τον μισθον τε και θησαυρον· οὐδε γαρ ὡς ἐτυχεν ἡμᾶς ἀνεπτερασας, τα κατα τον κυριον με Ιωαννην τον πρεσβυτερον απαγγειλας, ὁτι πολλην ἐπειησας σπουδην αναστησαι αὐτον και ἐκπεμψαι εις την φοινικην, ὁτι δε και χρυσιον αυτῷ δεδωκας, αυτος μεν ἐσ γησας, και τῦτο πρεπον τῇ εὐλαβειᾳ σε ποιῶν· ἡμᾶς δε οὐκ ελαθες. αλλα και τῦτο εγνωμεν. και την δαψιλειαν, ἡν παρεσχες· και δια τῦτο σε θαυμαζοντες, και μακαριζοντες ϋ παυομεθα, ὁτι ἐν οἷς δεῖ πλϋτειν και σε παρακαλοῦμην γραμματα συνεχῶς ἡμιν ἐπιστελλειν· ἐι μεν γαρ δυνατον ἦν και κατ᾽ ὀψιν σε ἰδειν, πολλοῦ ἀν επριαμεθα τῦτο· επειδη δε τῦτο τεως οὐκ ἐνι, γραφε συνεχῶς ἡμῖν, περι υγιειας τῆς σῆς ευαγγελιζομενος, και τοῦ ὀικου σε παντος, ϋ γαρ την τυχοῦσαν καρπωσομεθα παρακλησιν ταυτα μανθανοντες, εἰδως ϋν ἡλικα ἡμῖν χαριῇ, μη ἀποστερησης ἡμᾶς τῆς τοσαυτης εὐφροσυνης.

Υμνητιω ἀρχιητρῷ.

Εἰ και μαι συνεκῶς ἐπεσταλκαμεν τῇ τιμιοτητι σϐ. αλλα συνεχῶς σε ἐπι μνημης ἔχομεν, πεῖραν σϐ τῆς σφοδροτατης, τῆς σπϐδαιας, τῆς γνησιας φιλιας πολλην εν ἡμεραις ὀλιγαις λαβοντες. Δια τϐτο και τον κυριον μϐ τον τιμιωτατον ἐπισκοπον Σελευκον ὡς εἰς λιμενα τας σας παραπεμπομεν χεῖρας, και γαρ ὑπο βηχος πολεμεῖται χαλεπωτατης, ἣν ἡ τοῦ ἔτους ὥρα σφοδροτερον ἐπιτριβει, και χαλεπωτεραν ποιεῖ· καταμαθων τοινυν, δεσποτα μϐ τιμιωτατε τοῦ νοσηματος την φυσιν, ἐξαρπασαι αὐτον τοῦ κλυδωνιϐ πειραθητί, τῇ τῆς ἀῤῥωστιας βλαβη την απο τῆς ἐπιστημης τῆς σῆς ἐπιτειχισας δυναμιν δἰ ἧς πολλους πολλακις κινδυνευσαντας ὑπο τοιϐτων κυματων ὑπο βρυχιους γενεσθαι τοῦ ναυαγιϐ ταχεως ἀπηλλαξας.

Θεοδοσιω απο Δϐκῶν.

Πολλοῦ τοῦ μελιτος τῆν επιστολην ἀνεχρωσας, μᾶλλον δε και μελιτος αυτῆν ἡδιω πεποιηκας· το μεν γαρ όταν συνεχεστερον ομιλησῃ τοῖς ἀπολαυϐσιν αυ-

τοῦ της γλυκυτητος, ουκ ετὶ ὁμοιως ἡδυ φαινεται, τὸυ κορου, την τυραννιδα τῆς ἡδονῆς καταλυοντος· τα δε γραμματα τα σα την ὑγιειαν ἡμῖν εὐαγγελιζομενα την σην, τοσοῦτον απεχει τῦτο παθεῖν, ὅτι και επιτεινει τοτε μαλιστα ἡμῖν τῆν ευφροσυνην, ὅταν συνεχεστερον πεμπηται. συ μεν ὖν την επιστολην περιεπτυξω τῆν εμην. Εγο δε αυτον σε τον πατερα τῆς επιστολῆς· και περιεπτυξαμην, και περιεβαλον ἀμφω τω χειρε, και τῷ τραχηλῷ περιχυθεις. και την φιλην εμοι φιλεσας κεφαλην πολλην ἐκαρπωσαμην την παραμυθιαν. Ουδε γαρ επιστολην ἐνομιζον σην ἐπιεναι μονον, αλλα και αυτον παρειναι ἡμῖν και συγγινεσθαι· τοσουτον ισχὺσε τῆς ἐπιστολῆς ἡ δυναμιας· τιουτον γαρ τῆς γνησιας ἀγαπης ἡ φυσις, κἀν δια γραμματων αυτῆς προχεη τα ναματα, αυτην την πηγην των γραμματων φανταζεσθαι παρασκευαζει· ὁ δη και ἡμεῖς πεπονθαμεν· και ὖτε χρονου πλῆτος, ὖτε οδοῦ μῆκος, ὖτε πραγματων περιστασις, ὖτε ἀλλο ὀυδεν προς τῦτο κωλυμα γεγονεν ἡμῖν. Ταυτ' ὖν ειδως, δεσποτα μοῦ θαυμασιωτατε, ἐπιστελλειν ἡμῖν συνεχῶς μη κατοκνει, περι τῆς ὑγειας σου, και του οἰκου σου

παντος, και τῆς ευθυμιας δηλῶν· οἶσθα γαρ όπως ἡμῖν ταῦτα περισπȣδαστον μανθανειν.

Κυριακῷ 'Επισκοπῳ.

Ο δεσποτης μου Σωπατρος ο της Αρμενιας αρχων, Αρμενιας ταυτης εν ῇ νυν ἐσμεν καθειργμενοι. ἦρξε μην Αρμενιας ὡς πατηρ· επεδειξατο δε περι ἡμᾶς θεραπειαν πλειονα ἠ πατηρ. Ταυτης αὐτῷ τῆς ἐυνοιας αποδȣναι την ἀμοιβην σπȣδαζων τε και ζητῶν, εὑρεκεναι μοι δοκῶ καλλιστην οδον, την μεμεριμνημενην σȣ και ἀγρυπνον ψυχην, δἰ ἧς δυνησομαι αὐτον ἀμειψασθαι· πῶς και τινι τροπῳ; υἱος ἐστιν αὐτῷ διατριβων αυτοθι χρονον ἠ'δη πολυν ἐπι λογων κτῆσιν· τȣτον ἐαν σπȣδασης μετα προτυμιας ἰδειν, και της σοι πρεπȣσης ἀγαπης, και ποιησης ἀπολαυσαι τινος των χρεστῶν, το πᾶν ἐσομεθα ἐκτετικοτες· ποιει δε τȣτο, και καθιστη γνωριμων αυτον, και τοῖς ἐν τελει, τοῖς και σοι γνωριμοις, και δυναμενοις αὐτῷ την ἀλλοτριαν ἰδιω τῆς ἐνεγκουσης ποῖησαι· ȣτο γαρ χαριῇ μεν ἐκεινω, χαριῇ δε ἐμοι, χαριῇ δε σαυτῷ, ἀνδρα χρηστον, και φιλανθρωπον, και

κοινον τοῦ πενητων λιμενα δια τοῦ παιδος ὠφελῶν.

Μαλχω.

Μητε ἀθυμει, μητε ἁμαρτιαις λογιζε την καλλιστην ἀποδημιαν της μακαριας θυγατρος σου· εἰς γαρ ἀκυμαντον κατεπλευσε λιμενα, και προς ζωην ἦλθε μηκετι περας ἐχουσαν, και τοῦ κατὸ τον παροντα βιον κυματων ἀπαλλαγεῖ, ἐστηκεν ἐπι της πετρας, ὁσα συνηγαγεν ἀγαθα, ὡσπερ ἐν ασυλῳ λοιπον ἐχουσα θησαυρῶ· και δεῖ χαιρειν ὑπερ τουτων, και σκιρτᾶν, και εὐφραινεσθαι. ὁτι την ἐκεινην ψυχην καταπερ γεωργος ἀριστος καρπον ὡριμον, τῷ κεινῷ παντων παρεστησας δεσποτη. Ταυτα και τα ἐκ τοῦ τοιουτων λογισμων ἐπιτιθεις φαρμακα και σαυτῷ, και τῇ κυρια μου τῇ κοσμιωτατη μητρι ἀυτῆς. πλεοναζε τον ὑπερ τουτων ἀποκειμενον ὑμῖν μισθον ἱνα μη μονον της καλλιστης ἀνατροφῆς, αλλα και τȢ πραως, και εὐχαρισθως ενεγκεῖν την καλλιστην ταυτην αὐτῆς ἀποδημιαν, πολλην παρα τȢ φιλαιτρωπου θεοῦ λαβητε την ἀντιδοσιν.

Τιτῦτο; ὁτε ἡ τοσαυτη και τελικαυτη πολις ἑορτὴν ἀγει λαμπραν· τῦτο γαρ την αρχην καλῶ την σην· τοτε ἡμᾶς ν πλειονι κατεστησας κατηφεια, μακραν ὗτω σιγησας σιγην; και ἐι μεν ἀλλος· τις ἦν τοῦ πολλων ὁ τῦτο πεπονϑως, και την ἀιτιαν ῥαδιως ἀν εὗρον· τις δε ἐστιν ἀυτη; ειωϑασιν οι πολλοι τοῦ ανϑρωπων ἡνικα ἀν μειζονος ἀρχῆς ἐπιλαβωνται, και ἐν ʼογνῳ φρονηματὸς γινεσϑαι μειζονι, ἐπι δε της σῆς· μεγαλοπρεπειας φιλοσοφειν εἰδυιας, και ακριβῶς διεσκεμμενης τοῦ επικηρων τυτων και ρεοντων πραγματων την φυσιν και οὐκ ἀπαταμενης τοῖς επιτριμμασι και ταῖς ὑπογραφαῖς, αλλα γυμνα των προσωπων τα πραγματα καταμανϑανυσης, την αιτιαν ὐ δυναμαι τῆς σιγῆς εὑρεῖν· ἀλλʼ ὁτι μεν ἡμᾶς ὁμοιως ἐρᾷς και νῦν ὡσπερ και ἐμπροσϑεν, μᾶλλον δε μειζονως νῦν ἡ ἐμπροσϑεν, οἶδα σαφῶς· τινὸς δὲ ἑνεκεν ὗτω διακειμενος τοσοῦτον εσιγησας χρονον, ειπειν οὐκ ἐχω, ἀλλα κἀι δἰ αὐτο μεν οὗν τουτο μαλιστα ἀπορῶ· λυσον δη ἡμῖν το ʼαινιγμα δἰ ἐπιστολῆς, ει μη βαρυ μηδε ἐπαχτες, και προ τῆς ἐπιστολῆς ἐκεινης τυς ταυτης σοι κομοιζοντας την επιστολην·

λεγω δε τον κυριον μου τιμιωτατον και ευλαβεστατον πρεσβυτερον, και τȢς συν αυτῷ διδαξον· οπερ και ἡμεις πεπεισμεθα· ὁτι ραθυμιας ουκ ἦν ἡ σιγη· ἀρκει γαρ τȢτο ειπεῖν, εις το τυχεῖν αὐτȢς φιλοφροσυνης παρα τῆς σῆς θαυμασιοτητος.

Μαρκιανῷ.

Μακαριος εἶ, και τρισμακαριος. και πολλακις τȢτο, ἐν ȣ̔τω χειμῶνι χαλεπῷ, και τοσαυτη των πραγματων ζαλη, τοσαυτην ἐπιδεικνυμενος περι τους δεομενους μεγαλοψυχιαν, ȣ̓ γαρ ἐλαθεν ἡμᾶς τῆς φιλανθρωπιας σου το μεγετος, και ὁτι κοινος ἁπασι γεγονας λιμην, ορφανοις περισταμενος, χηρας παντι τροπῳ παραμυθȢμενος, ἀνεχων αυτων την πενιαν, διορθουμενος την πτωχειαν, ουδε αισθησιν ἀφιεις λαμβανειν της στενοχωριας ταυτης; ἀλλ' αντι παντων αυτοῖς γινομενος, και δῆμον αποκληρον διατρεφων σιτω, και οἴνω και ἀλαιω, και τοῖς ἀλλοις ἁπασιν· ο θεος σοι τον μισθον ἀποδῷ και ἐν τῷ παροντι βιω; και ἐν τῷ μελλοντι αἰῶνι της μαγαλοψυχιας ταυτῆς, της δαψιλειας, της προθυμιας,

του ζηλȣ. της φιλοπτωχειας, της γνησιας ἀγαπης· και γαρ ἐν ἁπασι τȣτοις βρυεις και κομᾶς, μεγιστα σεαυτῷ ἀποτιθεμενος βραβεια ἐν τῷ μελλοντι ἀιῶνι· ταυτα και ἡμις μανθανοντες ἐν ἐρημια τοσαυτη καθημενοι, και πολλαις κυκλȣμενοι περιστασεσι· και γαρ Ισαυρικοῦ φοβȣ πολιορκια, και καρȣ ἐρημια, και χειμῶνος σφοδροτης ἡμᾶς τλιβει· ἀλλ' ὁμως ταῦτα ακȣοντες περι τῆς σῆς τιμιοτητος. ὀυδε αισθησιν τȣτων λαμβανομεν τῶν λυπηρῶν, αλλα και πολλην καρπȣμεθα την παρακλησιν σκιρτῶντες ευφραινομενοι, χαιροντες ἐπι τοις τοσȣτοις κατορθωμασιν, επι τῷ πλȣτῷ, τῷ αφατῷ, ὁν ἐν ȣρανοῖς συναγεις σεαυτῷ· ἱν ȣ̃ν και ἐν ἑτερῷ ἐυφραινωμεθα, γραφειν ἡμῖν συνεχῶς μη κατοκνει, τα περι της ὑγειας τῆς σῆς εὐαγγελιζομενος· σφοδρα γαρ ἐπιθυμȣ̃μεν ακȣειν τα περι της ρωσεως τῆς σῆς· και τȣ̃το οἶσθα και αυτος, ἐπειδηπερ κακεινο οἶσθα, ὁπως της αγαπης της σης ἀντεχομεθα.

Ανθεμιω.

Αλλοι μεν σȣ τῇ θαυμασιοτητι και της ὑπατειας και της ἐπαρχοτητος συ-

γηδονται· εγω δε αυταις ταις αρχαις της σης ένεκεν μεγαλοπρεπειας· ου γαρ σε κατεκοσμησαν, αλλ' εκοσμηθησαν παρα σου· επειδη και τοιουτον ή αρετη, ουκ έξοθεν δανειζεται τας ημας, αλλ' αυτη, εν εαυτη περιφερει ταυτας, ημεν τοις αξιωμασι τουτοις παρεχουσα, ουκ αυτη παρ' εκεινων λαμβανουσα· δια δε τουτο ουδε προσεθηκαμεν τω φιλτρω νυν τω περι σε· ουδε γαρ σοι προσγεγονε πλειω· ουδε τον υπαρχον, και υπατον ήμεις φιλουμεν, αλλα τον δεσποτην μου τον ημερωτατον Ανθεμιον, τον πολλης μεν συνεσεως, πολλης δε γεμοντα φιλοσοφιας· διο σε και μακαριζομεν, ουκ επειδη προς τον θρονον ανεβης τουτον, αλλ' επειδη δαψιλεστεραν έλαβες ύλην, εις το την συνεσιν σου και την φιλανθρωπιαν επιδειξασθαι· και τοις αδικουμενοις πασι συνησομεθα, τον πλατυν σου λιμενα της ψυχης ορωντες, μυρια δυναμενον λυσαι ναυαγια, και τους εις εσχατον κλυδωνα κατενεχθεντας παρασκευασαι εξουριας πλειν, δια ταυτα σκιρτωμεν, δια ταυτα χαιρομεν. την σην αρχην κοινην εορτην, τον εντρεαζομενον ειναι νομιζοντες· ης και αυτοι νυν απολαυομεν, οικειαν ήδονην ειναι τιθεμενοι των σων κατορθωματων το μεγεθος.

Ολιγα μεν σοι συνεγενομεθα, πολλην δε την πειραν σου της γνησιας και θερμης ειληφαμεν αγαπης· και γαρ αι γενναιαι ψυχαι εν βραχει καιρω εντυγχανουσας χειρουνται· ο δε και αυτος πεποιηκας εν ολιγω σφοδροις ημας ποιησας εραστας της ευγενειας της σης· διο και επιστελλομεν, και τα καθ' ημας αυτους δηλουμεν, οτι εν ησυχια και απραγμοσυνη διαγομεν πολλη, παντων ημας ενταυθα θεραπευοντων μετα σπουδης, και μετα πολλης ορωντων της ευνειας, ιν' ουν και τα υμετερα μανθανοντες ευφραινομεθα, συνεχως ημιν επιστελλειν μη κατοκνει και τα περι της υγειας της σης ευαγγελιζεσθαι, ινα και εκ τουτου πολλην καρπωσωμεθα την παραμυθιαν, τοιαυτα παρα της σης ευγενειας δεχομενοι γραμματα.

Κλαυδιανω.

Τι τουτο; ο θερμος ημων εραστης, ο μανικος. τοσαυτης παρ' ημων απολαυσας αγαπης. ο διηνεκως ημιν συνδεδεμενος, ουδε γραμματων ημας εν ουτω χρονω μακρω ηξιωσας, αλλ' ηνε-

σχου σιγῆσαι σιγην ὑτω μακρον; τι ποτε ἀρα το ἀιτιον; ἀρα μετα την ἀποδημιαν ἐξεβαλες ἡμᾶς τῆς διανοιας τῆς σῆς και ῥαθυμοτερος περι την ἡμετεραν γεγονας ἀγαπην; οὐκ εγωγε οἶμαι· μη γαρ ποτε τῦτο γενηται, ἀπο φιλικῆς ὑτο ψυχῆς και τερμῆς τοσαυτην γενεσθαι μεταβολην: ἀλλ' αρα μη ἀῤῥωστια σε κατεσχεν; αλλ' οὐκ ἠδυνατο αὐτη γενεσθαι κωλυμα τῷ γραφειν· ἐπει ὖν ἀγνοοῦμεν την αἰτιαν, μετα τῦ λῦσαι την σιγην, και την αιτιαν ἐιπε τῆς σιγῆς, και πεμπε ταχεως ἡμῖν ἐπιστολην τα περι της ὑγειας της σης εὐαγγελιζομενην ἡμᾶς· ὑτο γαρ τα μεγιστα ἡμῖν χαριῆ, και τῆς ἐρημιας πολλην παρεξεις παρακλησιν, ἀν τοιαῦτα δεξωμεθα γραμματα· αλλα μη ῥαθυμησης· ἐι γαρ και μετα την ἐπιστολην ταυτην μενεις σιγῶν, οὐκ ετι σοι συγγνωμην δωσομεν, ἀλλα γραψομεθα σε τῆς εσχατης ἀγνωμοσυνης· οἶδα δε ὁτι πασης σοι τιμωριας τῦτο πικροτερον.

Θεοδουλῳ διακονῳ.

Εἰ και χαλεπος ο χειμων, και προς ὑψος ἐγηγερθαι μεγα, και οἱ βυλομενοι λυμαινεσθαι ταῖς ἐκκλεσιαις ταῖς εἰς Γοτ-

τιαν, πολλην ποιουνται σπουδην; παν ταχου περιτρεχοντες, αλλ' ὑμεις μη διαλιπητε τα παρ ἑαυτων εισφεροντες· καν γαρ μηδεν ἀνυσητε πλεον, ὁπερ ȣχ ἐγουμαι, ἀλλ' ὁμως της γνωμης, και της προθεσεως ἀπηρτισμενον ἐχετε παρα τȣ φιλανθρωπου θεου τον μισθον· μη τοινυν καμης, ἀγαπητε, σπουδαζων, μεριμνων, φροντιζων, και δια σαυτȣ, και δι ἑτερων, ὧν α'ν οἰζ τε ᾖ, ὡστε μη γενεσθαι ταραχας αὐτοθι και θορυβους; προ δε παντων εὐχεσθε, και μη, διαλιπητε ἐκτενως δεομενοι τȣ φιλανθρωπου θεου, και μετα της προσηχȣσης σπουδης, ἱνα λυση τα κατεχοντα νυν κακα, και πολλην παρασχη και βαθειαν τῃ ἐκκλησια εἰρηνην· τεως μεν τοι, ὁπερ και ἐμπροσθεν ἐπεσταλκα; παντα ποιησατε, ὡστε ἀναβολην τινα γενεσθαι τω πραγματι, και γραφε ἡμιν συνεχως, ἑως α'ν ᾖς 'αυτοθι.

Καρτεριω ἡγεμονι.

Ερημοτατον μεν χωριον μεθ' ὑπερβολης ἡ Κȣκȣσος· πλην αλλ' ȣν ȣτως ἡμας τῃ ἐρημια λυπει, ὡς ἐυφραινει τῃ ἡσυχια και τω μηδαμοθεν ἡμιν πραγματα παρεχειν·

διο καθαπερ εἰς λιμενα τινα την ερημιαν ταυτην ἀπηντηκοτες, ἐτο καθημεθα ἀπο τοῦ κατα την οδον κακῶν ἀναπνεοντες, και τῆ ἡσυχιᾳ ταυτη τῆς ἀῤῥωστιας και τῶν ἀλλων κακῶν, ὧν ὑπεμεινκμεν, τα λειψανα διορθοῦντες· και ταῦτα ἐιρηκαμεν προς την σην, λαμπροτητα, επειδη σφοδρα ἰσμεν χαιροντα σε τῆ ἀνεσει τῆ ἡμετερα· ἐπει και ἀ αὐτοθι πεποιηκας, ουδεποτε ἐπιλαθεσθαι δυναμεθα. τυς προπετεις ἐκεινους και ἀλογιστους ἀνχστελλαν θορυβους; και παντα ποιῶν, ὡστε ἡμᾶς ἐν ἀδεια καταστῆσαι, και τα σαυτῦ πληρῶν· και ταυτα προς ἀπαντας ὁπυπερ ἀν αφικωμεθα ἀνακηρυττομεν, πολλας σοι χαριτας ἐιδοτες, δεσποτα μου θαυμασιωτατε, της τοσαυτης κηδεμονιας; ἱνα δε μη μονον ἐκ τῦ φιλεισθαι παρα σοῦ, αλλα και ἐκ τῶν γραμματων ἀπολαυειν τῶν σῶν περι τῆς ὑγειας τῆς σῆς σημαινοντων πολλην καρπωσομεθα την ευφροσυνην, διδου ταυτην ἡμῖν την χαριν· ὐ γαρ την τυχοῦσαν δεξομετα και ἐν ἀλλοτρια γῆ διατριβοντες παρακλησιν, ἐι τοιαῦτα γραμματα δεξαιμεθα παρα τῆς θαυμασιοτητος σου.

Προς τον μεγαν Βασιλειον.

Εψευσαμην ομολογω την υποσχεσιν, συνεσεσθαι σοι και συμφιλοσοφησειν. κα. Θομολογησας εκ των Αθηνων ετι και της εκεισε φιλιας και συμφυιας· ου γαρ εχω τι τουτων ειπειν ομοιοτερον· εψευσαμην δε ουχ εκων. αλλα νομου νομον νικησαντος, του θεραπευειν κελευσαντος τους γεννητορας, του της εταιρειας και συνηθειας· ου μην παντα πασι ψευσομαι αν τουτο αυτο ει καταδεξη· τα μεν γαρ ημεις σοι συνεσομεθα· τα δε αυτος ημιν θελησον, ιν' η τα παντα κοινα. και τω της φιλιας ομοτιμον· ουτω γαρ υπαρξει, και το αυτους μη λυπειν, και το σου τυγχανειν.

Τω αυτω.

Επειδη φερεις μετριως την παιδειαν, και τα εξης προσθησομεν· εξ Ομηρου δε το προοιμιον· ἀλλ' αγε δε μεταβηθι, και τον εσω κοσμον αεισον, την αστηγον σκεπην και αθυρον, τον απυρον εστιαν και ακαπνον, τους πυρι ξηραινο-

μενυς τοιχους, ἱνα μη ταῖς του πηλυ ρανισι βαλλωμετα, Ταντάλιοι τινες, και καταχριτοι, διψῶντες εν ὑδασι· την ελεεινην εκεινην και ἀτρυφον πανδαισιαν, εφ' ἧν ἀπο Καππαδοκιας εκληθημεν. οὐχ ὡς λωτοφαγων πενιαν. ἀλλ' ὡς Αλκινοου τραπεζαν ἡμεῖς οι νεοι ναυαγοι τε και τλημονες μεμνημαι γαρ τῶν ἀρτων εκεινων, και τῶν ζωμῶν· ὄτω γαρ ωνομαζοντο, αλλα και μεμνησομαι, και περιολισθαινοντων τοῖς βλωμοῖς ὀδοντῶν. εἶτα ανισχομενων και ανελχομενων. ὥσπερ ἐκ τελματος· αυτος ταῦτα τραγωδησεις υψηλοτερον, εκ τῶν οικειων παθῶν εχων το μεγαλοφωνον, ὧν ει μη ταχεως ἡμᾶς η μεγαλη και πτωχοτροφος οντως ερρυσατο, την σην λεγω μητερα, ὥσπερ λιμην εν καιρῶ φανεῖσα χειμαζομενοις, παλαι αν ἦμεν νεκροι. πιστεως ποντικης ἐκ επαινυμενοι μᾶλλον ἢ ελευμενοι· πῶς παρελθω τυς ακηπυς κηπυς ἐκεινυς και αλαχανυς; και την Αυγειυ κοπρον, ἐκ τῆς οικιας εκκαθαιρομενην, ἧ τυτυς αναπληρωσαμεν, ἡνικα την γεωλοφον ἁμαξαν· εγω τε ο βοτρυων, και ο λαμυρος συ, τοῖς αὐχεσι τυτοις, και ταῖς χερσι ταυταις, αι τῶν πονων ἐτι τα ἴχνη φερυσιν, ὦ γῆ και ηλιε, ανηρ και

ἀρετη. Τραγωδησω γαρ τι μικρον· ουχ ἱνα τον Ελλησποντον ζευξωμεν, αλλ' ἱνα κρημνον ομαλισωμεν· τυτοις εἰ μεν ὀυδεν ἀχθεσθηση λεγομενοις· παντας ὀυδε ἡμεις· εἰ δε αχθεσθηση, ποσον γενομενοις ἡμεις και τα πλειω παρησομεν. αἰδοι των αλλων, ὡν πολλων ἀπηλαυσαμεν.

Αμφιλοχιῳ.

Αρτυς μεν ὀυκ ἠτησαμεν παρα συ· ὁτι μηδε ὑδωρ. παρα των Οστρακινην οἰκυντων· λαχανα δε εἰ αἰτοιημεν παρα ἀνδρας Οζιζαλεως, ὡν ἀφθονια ὑμιν; παρα δε ἡμιν πολλη σπανις, θαυμαστον ὀυδεν, ὀυδε ἐξω της συνηθειας· καταξίωσον ὀυν λαχανα ἡμιν ἀποστειλαι πλειστα και καλλιστα, ἠ ὁσα γεδυνατον· ἐπει και τα μικρα μεγαλα τοις πενησιν· ἐπειδη και τον μεγαν βασιλειον δεξιυμεθα, ὀυ μη βυληθης ὡσπερ ἐπειραθης κεκορεσμενυ φιλοσοφυντος, ὀυτω πειραθηναι πεινωντος, και δυσχεραινοντος.

Προκοπιῳ.

Ιδυ και δευτερος σοι γαμβρος· και το γλυκυ φορτιον αποσκευαζεις, καλως πο-

ιων· αργοι δε ἡμεῖς, ὡς ἀν αυτος ἐιποις· ὡς δε ὁ ἀληθης λογος, ἀσθενεῖς, ἐκ ἀργοι· πλην καλῶς ἡμιν ἐχει τα εκ θεῦ· των μεν γαρ θορυβων, ἀλλοις παρεχωρησαμεν· της φιλοσοφιας δε ἡμεῖς ἀπολαυσομεν· ἐπειδαν θεῷ συσταλῃς, και ὁλως του ἀνω γενη, μηδενι δεσμῷ κατεχομενος· και νυν δε τοῖς γαμοις συνεισφερομεν τας εὐχας, ἐιδεῖ δωροφορεῖν ἡμῖν το καλλιστον.

Φιλαγριῳ.

Αλγῶ τηνοσω· και χαιρω. ὀυχ ὁτι ἀλγῶ, ἀλλ' ὁτι τῦ καρτερειν τοῖς ἀλλοις εἰμι διδασκαλος· ἐπειδη γαρ πα μη πασχειν ὀυκ ἐχω, τῦτο γε τῳ πασχειν παρακερδαινω, το φερειν και το ἐυχαριστεῖν, ὡσπερ ἐν τοῖς εὐθυμοις, ὀυτω δε καν τοῖς ἀλγεινοῖς· ἐπειδη πιθομαι μηδεν ἀλογον εἶναι, παρα τῷ λογῳ των ἡμετερων, καν ἡμῖν ὀυτο φαινηται.

Εὐσταχιῳ σοφιστῃ.

Μιμησαι μοι τον Αλεξανδρον, ὦ θαυμασιε, και ὡσπερ ἐκεινος ἰν' Αθηναιοις αρεση, φιλοτιμυμενος ἠν ταυτη τοι και

θεατρον ἀει τῆς αυτȣ βασιλειας τας Αθηνας ωνομαζεν, ȣτω και συ καθ' ἡμᾶς εἶναι τι νομισας, εἰ και μηδαμῆ, αλλ' ἡ των λεγων εἱνεκα και των Αθηνων αὐτων προς δε και τους κεινȣς πατερας των λογων αἰδȣμενος, διπλασιασαι προθυμηθητι τω καλω προνοιω την περιλογȣς σπȣδην, παντας ὁ, τι ἀν εισενεγκης τω νεω ἡμιν τȣτο εισοισεις· οι και παθειν εὖ ἐπιτηδειοι, και λογων ἐπαινεται ἰσως ȣ καθημεθα σιαπῆς ἀκινδυνον γερας, ἡμιν αὐτοις ἐπιταξοντες.

LUCIANI DIALOGI MORTUORUM

HALEXANDER ANNIBAL MINOS SCIPIO.

ΑΛΕΞ.

Εμε δεῖ προκεκρισθαι σȣ, ὦ Λιβυ· ἀμεινων γαρ εἰμι. ΑΝ. ȣμενȣν, ἀλλ' ἐμε. ΑΛ. ȣκȣν ὁ Μινως δικασατω. ΜΙΝ. τινες δ' ἐστε; ΑΛ. ȣτως μεν Αννιβας ὁ Καρχηδονιος· ἐγω δε Ἀλεξανδρος ὁ Φιλιππȣ. ΜΙΝ. νη δια ἐνδοξοι γε ἀμφοτεροι· αλλα περι τινος ὑμιν ἡ ἐρεις; ΑΛ, περι προεδριας· φησι γαρ ȣτος ἀμεινων γεγενῆσθαι στρατηγος ἐμȣ.

δε ὥσπερ ἅπαντες ἴσασιν, ὀυχι τυτυ μονον, ἀλλα παντων σχεδον του προ ἐμυ φημι διενεγκειν τα πολεμια. ΜΙΝ. ὀυκυν ἐν μερει ἑκατερος ειπατω, συ δε πρωτος ὁ Λιβυς λεγε. ΑΝ. Εν μεν τυτο, ὦ Μινως, ὠναμην, ὁτι εντανθα και την Ἑλλαδα φωνην ἐξεμαθον· ὡστε ὀυδε ταυτη πλεον ὀυτος ἐνεγκαιτο μυ· φημι δε τυτυς μαλιστα ἐπαινυ ἀξιυς εἶναι, ὁσοι το μηδεν ἐξ ἀρχῆς οντες ομως ἐπι μεγα προεχωρησαν, δἰ αυτης δυναμιν τε περιβαλλομενοι, και ἀξιοι δοξαντες ἀρχῆς· ἐγω γυν μετ᾽ ὀλιγων ἐξορμησας ἐς την Ἰβεριαν, το πρωτον ὑπαρχος ὠν τῳ ἀδελφῳ, μεγιστων ἠξιωτην, ἀριστος κριθεις· και τυς γε Κελτιβηρας εἷλον, και Γαλατης ἐκρατησα των Ἑσπεριων, και τα μεγαλα ὀρη ὑπερβας, τα περι τον Ἠριδανον ἁπαντα κατεδραμον, και ἀναστατυς ἐποιησα τοσαυτας πολεις, και την πεδινην Ἰταλιαν ἐχειρωσαμεν, και μεχρι των προαστειων της πρυχυσης πολεως ἦλθον· και τοσυτυς ἀπεκτεινα μιας ἡμερας, ὡς τε τυς δακτυλιυς αὐτης μεδιμνοις ἀπομετρῆσαι, και τυς ποταμυς γεφυρωσαι νεκροῖς· και ταῦτα παντα ἐπραξα, ὀυτε Ἀμμωνος υἱος ὀνομαζομενος, ὀυτε θεος εἶναι προσποιυμενος, ἢ ἐνυπνια τῆς μη-

τρος δεξιαν · αλλ' ανθρωπος ειναι ὁμολογων. στρατηγοις τε τοις συνετωτατοις αντεξεταζομενος, και στρατιωταις τοις μαχιμωτατοις συμπλεκομενος· ου Μηδους και Αρμενιους καταγωνιζομενος ὑποφευγοντας πριν διωκειν τινα, και τω τολμησαντι παραδιδοντας ευθυ την νικην. Ἀλεξανδρος δε πατρωαν ἀρχην παραλαβων ηὐξησε; και παραπολυ ἐξετεινε, χρησαμενος τη της τυχης ὁρμη· ἐπειδ' ουν ἐνικησε τε, και τον ὀλεθρον ἐκεινον Δαρειον ἐν Ισσωτε και Ἀρβηλοις ἐκρατησεν, ἀποστας των πατρωων προσκυνεισθαι ἠξιου; και ἐς διαιταν την Μηδικην μετεδιητησεν ἑαυτον, και ἐμιαιφονει ἐν τοις συμποσιοις τους φιλους, και συνελαμβανεν ἐπι θανατω· ἐγω δε ἠρξα ἐπισης της πατριδος, και ἐπειδη μετεπεμπετο . του πολεμιων μεγαλω στολω ἐπιπλευσαντων της Λιβυης, ταχεως ὑπηκουσα και ἰδιωτην ἐμαυτον παρεσχον. και καταδικασθεις ἠνεγκα εὐγνωμονως το πραγμα· και ταυτ' ἐπραξα βαρβαρος ὠν, και ἀπαιδευτος παιδειας της Ἑλληνικης· και ουτε Ὁμηρον, ὡσπερ ουτος, ῥαψωδων, ουτε ὑπ' Ἀριστοτελει τω σοφιστη παιδευθεις, μονη δε τη φυσει ἀγαθη χρησαμενος· ταυτα εστιν, ἁ ἐγω Ἀλεξανδρου ἀμεινων φημι

εἶναι· εἰ δ᾽ ἔστι καλλιων ὑτοσι, διοτι διαδήματι την κεφαλην διεδεδετο. Μακεδοσι μὲν ἰσως και ταῦτα σεμνα· ὑ μεν δια τῦτ᾽ ἀμεινων δοξειεν ἀν γενναιυ και στρατηγικῦ ἀνδρος, τῇ γνωμῃ πλεον ἠπερ τῇ τυχῃ κεχρημενυ. ΜΙΝ. ὁ μεν εἰρηκεν οὐκ ἀγεννῆ τον λογον, ὑδ᾽ ὡς Λιβυν εἰκος ἦν, ὑπερ αὐτῦ· συ δε, ὦ Ἀλεξανδρε, τι προς ταῦτα φης; ΑΛ. Ἐχρῆν μεν, ὦ Μινως, μηδεν προς ἀνδρα ὑτω θρασυν· ἱκανη γαρ ἡ φημη διδαξαι σε, οἱος μεν ἐγω βασιλευς οἷος δε ὑτος λῃστης ἐγενετο· ὁμως δε ὁρα, ει κατ᾽ ὀλιγον αὐτῦ διενεγκα· ὁς νεος ὢν ἐπι παρελθων ἐπι τα πραγματα, και την ἀρχην τεταραγμενην κατεσχον, και τυς φονεας του πατρος μετῆλθον, καταφοβησας την Ἑλλαδα τῇ Θηβαιων ἀπωλεια, στρατηγος ὑπ᾽ αὐτῶν χειροτονηθεις, οὐκ ἠξιωσα την Μακεδονων ἀρχην περιεπων ἀγαπᾶν ἀρχειν ὁποσων ὁ πατηρ κατελιπεν, ἀλλα πᾶσαν επινοησας την γην, και δεινον ἡγησαμενος, εἰ μη ἁπαντων κρατησαιμι, ὀλιγυς ἀγων ἐσεβαλων ἐς την Ἀσιαν· και ἐπι-τε Γρανικῷ ἐκρατησα μεγαλῃ μαχῃ· και την Λυδιαν λαβων και Ἰωνιαν και φρυγιαν, και ὁλως τα ἐν ποσιν ἀει χειρυμενος ἦλθον ἐπι Ἰσσον, ἐνθα Δα-

ρεῖος ὑπεμεινε μυριαδας πολλας στρατευ-
αγων. Και το ἀπο τουτου, ὦ Μινως,
ὑμεῖς ἴστε ὁσους ὑμῖν νεκρους ἐπι μιας ἡμε-
ρας κατεπεμψα φησι γουν ὁ πορθμευς μη
διασκεσαι αὐτοῖς τοτε το σκαφος, ἀλλα
σχεδιας διαπηξαμενους τους πολλους αὐτων
διαπλευσαι και ταῦτα δε ἐπραττον αὐ-
τος προκινδυνευων, και τιτρωσκεσθαι ἀ-
ξιῶν· και ἱνα σοι μη τα ἐν Τυρῳ, μη-
δε τα ἐν Ἀρβηλοις διηγησομαι, ἀλλα
και μεχρις Ἰνδῶν ἦλθον, και τον Ὠκεα-
νον ὁρον ἐποιησαμην της ἀρχῆς, και τους
ἐλεφαντας αὐτων εἷλον, και Πῶρον ἐχει-
ρωσαμην· και Σκυθας, δε, οὐκ εὐκατα-
φρονητους ἀνδρας, ὑπερβας τον Ταναιν,
ἐνικησα μεγαλη ἱππομαχια· και τους φι-
λους εὖ ἐποιησα, και τους εχθρους ἠμυνα-
μην· ἐι δε και θεος ἐδοκουν τοῖς ανθρω-
ποις συγγνωστοι ἐκεῖνοι παρα το μεγετος
των πραγματων και τοιουτον τι πιστευ-
σαντες περι ἐμου; Το δ' οὖν τελευταῖον,
ἐγω μεν βασιλευων ἀπεθανον, οὗτος δε ἐν
φυγῇ ὢν παρα Προυσια τῷ Βιθυνῷ, κα-
ταπερ ἄξιον ἦν πανουργοτατον, και ὠμο-
τατον ὀντα· ὡς γαρ δη ἐκρατησε τοῦ
Ἰταλῶν ἐῶ λεγειν, ὁτι οὐκ ισχυι, αλλα
πονηρια, και ἀπιστια, και δολοις· νο-
μιμον δε, ἡ προφανες οὐδεν· ἐπει δε μοι

ὡνε δισε την τρυφην. ἐκλελῆσθαι μοι δοκεῖ. Οἷα ἐποιει ἐν Καπυῃ, ἑταιραις συνων. και τους του πολεμου καιρους ὁ θαυμαστιος καθηδυπαθων. ἐγω δε ει μη μικρα τα Ἑσπερια δοξας ἐπι την ἑω μαλλον ὡρμησα, τι ἀν μεγα ἐπραξα, Ιταλιαν ἀναιμωτι λαβων, και Λιβυην, και τα μεχρι Γαδειρων ὑπαγομενος; ἀλλ' οὐκ ἀξιομαχα ἐδοξε μοι ἐκεῖνα, ὑποπτησσοντα ἠδη, και δεσποτην ὁμολογουντα· εἰρηκα· συ δε, ὦ Μινως, δικαζε· ἱκανα γαρ ἀπο πολλων και ταυτα. ΣΚΗ. Μη προτερον. ἐν μη και ἐμου ἀκουσης· ΜΙΝ. τις γαρ εἶ, ὦ βελτιστε; ἠ ποθεν ὢν ἐρεῖς; ΣΚΗ. Ἰταλιωτης Σκηπιων, στρατηγος, ὁ καθελων Καρχηδονα, και κρατησας Λιβυων μεγαλαις μαχαις. ΜΙΝ. τι οὖν και συ ἐρεῖς; ΣΚΗ. Ἀλεξανδρου μεν ἡττων εἶναι, του δε Ἀννιβου ἀμεινων· ὁς ἐδιωξα νικησας αὐτον, και φυγεῖν καταναγκασας ἀτιμως· πως οὖν οὐκ ἀναισχυντος οὗτος, ὁς προς Ἀλεξανδρον ἁμιλλαται, ᾧ οὐδε Σκηπιων ἐγω, ὁ νενικηκως αὐτον, παραβαλλεσθαι ἀξιω; ΜΙΝ. νη Δι' εὐγνωμονα φης, ὦ Σκηπιων· ὡστε πρωτος μεν κεκρισθω Ἀλεξανδρος, μετ' αὐτον δε, συ· εἶτα, ει δοκεῖ, τριτος Ἀννιβας, οὐδε οὗτος εὐκαταφρονητος ὤν.

AGAMEMNON AJAX.

ΑΓΑΜ.

Ει συ μανεις, ω Αἶαν, σεαυτον εφονευσας: εμελλησας δε και ημας απαντας, τι αιτια τον Οδυσσεα; και πραγν ουτε προσεβλεψας αυτον, οποτε ηκε μαντευσομενος, ουτε προσειπειν ηξιωσας ανδρα συστρατιωτην και εταιρον, αλλ' υπεροπτικως μεγαλα βαινων παρηλθες. ΑΙΑΣ. εικοτως ω Αγαμεμνον· αυτος γαρ μοι της μανιας αιτιος κατεστη; μονος αντεξετασθεις επι τοις οπλοις. ΑΓΑΜ. ηξιως δε ανανταγωνιστος ειναι, και ακονιτι κρατειν απαντων; ΑΙΑΣ. ναι, ταγε τοιαυτα· οικεια γαρ μοι ην η πανοπλια, του ανεψιου γε ουσα· και υμεις οι αλλοι, πολυ αμοινους οντες απειπασθε τον αγωνα, και παρεχωρησατε μοι του αθλων· ο δε Λαερτυ, ον εγω πολλακις εσωσα κινδυνευοντα καταπεκοφθαι υπο του φρυγων, αμεινων ηξιυ ειναι, και επιτηδειοτεστος εχειν τα οπλα· ΑΓΑΜ. Αιτιω τοιγαρουν, ω γενναιε, την Θετιν, η, δεον σοι την κληρονομιαν του οπλων παραδιδοναι συγγενει γε οντι, φερουσα ες το κεινον κατεθετο αυτα. ΑΙΑΣ.

ουκ· ἀλλα τον Οδυσσεα, ὁς ἀντεποιητη μονος. ΑΓΑΜ. συγγνωμη. ὦ αἶαν. ει ἀνθρωπος ὢν, ὠρεχτη δοξης, ἡδιστου πραγματος, ὑπερ ὁ και ἡμων ἑκαστος κινδυνευειν ὑπομενει, ἐπει και ἐκρατησε σου. και ταυτα, παρα Τρωσι δικασταις. ΑΙΑΣ. οἶδα ἐγω, ἡτις μου κατεδικασεν· ἀλλ' ὁ θεμις λεγειν τι περι των θεων· τον γουν 'Οδυσσεα μη ουχι μισειν ουκ ἀν δυναιμην· ὦ Αγαμεμνον· ουδ᾽ εἰ αὐτη μοι 'Αθηνα τουτο ἐπιταττοι.

ANTILOCHUS ACHILLES

ANT.

Οια πραην, Αχιλλευ, προς τον 'Οδυσσεα σοι εἰρηται περι του θανατου ὡς ἀγεννη και ἀναξια τοιν διδασκαλειν ἀμφοιν Χειρωνος τε και Φοινικος; ἠκροωμην γαρ, ὁποτε ἐφης βουλεσθαι ἐπαρουρος ὢν θητευειν παρα τινι των ἀκληρων, ᾧ μη βιοτος πολυς εἰη, μαλλον ἢ παντων ἀνασσειν των νεκρων· ταυτα μεν ουν ἀγεννη τινα φρυγα δειλον, και παρα του καλως ἐχοντος φιλοζωον ἰσως ἐχρην λεγειν· τον Πηλεως δε υἱον, τον φιλοκινδυνοτατον ἡρωων ἀπαντων, ταπεινα ου-

τω περι αυτου διανοεισθαι πολλη αισχυνη, και εναντιο της προς τα πεπραγμενα σοι εν τω βιω· ος, εξον ακλεως εν τη Φθιατιδι πολυχρονιον βασιλευειν εκων προειλου τον μετα της αγαθης δοξης θανατον. ΑΧ. Ὦ παῖ Νεστορος, αλλα τοτε μεν απειρος ετι του ενταυθα ων, και το βελτιον εκεινων οποτερον ην αγνοων, το δυστηνον εκεινο δοξαριον προετιμων του βιου· νυν δε συνιημι ηδη, ως εκεινη μεν ανωφελης, ει και οτι μαλιστα οἱ ἀνω ραψωδησουσι· μετα νεκρων δε ομοτιμια; και ουτε το καλλος εκεινο, ὦ Ἀντιλοχε, ουτε η ισχυς παρεστιν, αλλα κειμεθα απαντες υπο τω αυτω ζοφω ομοιοι. και κατ' ουδεν αλληλων διαφεροντες, και ουτε οἱ του Ἀχαιων θεραπευουσιν· ισηγορια δε ακριβης, και νεκρος ομοιος, ἠμεν κακος, ἠδε και εσθλος ταυτα με ανια. και αχθομαι, οτι μη θητευαζων. ΑΝΤ. Ὁμως τι ουν αν τις. παθοι, ω Ἀχιλλευ; ταυτα γαρ εδοξε τη φυσει απαντας αποθνησκειν απαντας, ωστε χρη εμμενειν τω νομω, και μη ανιασθαι τοις διατεταγμενοις· αλλως τε ορας, του εταιρων οσοι περι σε εσμεν οιδε· μετα μικρον δε και Ὀδυσσευς αφιξεται παντως. Φερει δε παραμυθιαν και

ἡ κοινωνια του πραγματος, και το μη μονον αυτον πεπονθεναι, ὁρᾷς τον Ἡρακλεα, και τον Μελεαγρον, και ἀλλους θαυμαστους ἀνδρας, οἱ οὐκ ἀν, οἶμαι, δεξαιντο ἀνελθειν, ει τις αυτους αναπεμψειε θητευσοντας ἀκληροις, και ἀβιοις ἀνδρασιν. ΑΧ. Εταιρικη μεν ἡ παραινεσις· ἐμε δε οὐκ οἶδ᾽ ὁπως ἡ μνημη των παρα τον βιον ἀνια· οἶμαι δε και ὑμων ἑκαστον· ει δε μη ὁμολογειτε, ταυτῃ χειρους ἐστε, κατ᾽ ἡσυχιαν αυτο πασχοντες. ΑΝΤ. οὐκ, ἀλλ᾽ ἀμεινους, ὦ Ἀχιλλευ· το γαρ ἀνωφελες του λεγειν ὁρωμεν· σιωπᾷν γαρ, και φερειν, και ἀνεχεσθαι δεδοκται ἡμιν, μη και γελωτα ὀφλωμεν, ὡσπερ συ, τοιαυτα ευχομενοι.

DIOGENES MAUSOLUS.

ΔΙΟΓ.

Ὦ Καρ, ἐπι τινι μεγα φρονεις, και παντων ἡμων προτιμᾶσθαι ἀξιοις; ΜΑΥ. και ἐπι τῃ βασιλεια μεν, ὦ Σινωπευ, ὁς ἐβασιλευσα Καριας μεν ἀπασης, ἠρξα δε και Λυδων ἐνιων, και νησους δε τινας ὑπηγαγομην, και ἀχρι Μιλητου ἐπε-

βην, τα πολλα της Ιωνιας καταστρεφομενος· και καλος ην και μεγας. και εν πολεμοις καρτερος· το δε μεγιστον, οτι εν Αλικαρνασσω μνημα παμμεγεθες εχω επικειμενον, ηλικον ουκ αλλος νεκρος, αλλ' ουδε ουτως ες καλλος εξησκημενον, ιππων και ανδρων ες το ακριβεστατον εικασμενων λιθου του καλλιστου, οιον ουδε νεων ευρη τις αν ραδιως, ου δοκω σοι δικαιως επι τουτοις μεγα φρονειν; ΔΙΟ. Επι τη βασιλεια φης, και τω καλλει, και τω βαρει του ταφου; ΜΑΤ. νη Δι' επι τουτοις. ΔΙΟ. αλλ', ω καλε Μαυσωλε, ουτε η ισχυς ετι σοι εκεινη, ουτε η μορφη παρεστιν· ει γουν τινα ελοιμεθα δικαστην ευμορφιας περι, ουκ εχω ειπειν, τινος ενεκα το σον κρανιον προτιμηθειη αν του εμου· φαλακρα γαρ αμφω, και γυμνα. και τους οδοντας ομοιως προφαινομεν, και τους οφθαλμους, αφηρημεθα, και τας ρινας αποσεσιμωμεθα· ο δε ταφος, και οι πολυτελεις εκεινοι λιθοι, Αλικαρνασσευσι μεν ισως ειεν επιδεικνυσθαι, και φιλοτιμεισθαι προς τους ξενους. ως δη τι μεγα οικοδομημα αυτοις εστι· συ δε, ω βελτιστε, ουχ ορω ο, τι απολαυεις αυτου, πλην ει μη τουτο φης, οτι μαλλον η-

μων α'χτοφορεις ὑπο τηλικουτοις λιθοις πιεζομενος. ΜΑΥ. 'Ανοητα οὖν μοι ἐκεῖνα παντα, και ἰσοτιμος ἐσται Μαυσωλος, και Διογενης; ΔΙΟ. οὐκ ἰσοτιμος, ὦ γενναιοτατε· ὁ γαρ· Μαυσωλος μεν γαρ 'οιμωξεται, μεμνημενος του ὑπερ γης, ἐν οἷς εὐδαιμονεῖν ᾠετο· Διογενης δε καταγελασεται αὐτου· και ταφον ὁμεν ἐν 'Αλικαρνασσῷ ἐρεῖ ἑαυτου, ὑπο 'Αρτεμισιας της γυναικος, και ἀδελφης κατεσκευασμενον· ὁ Διογενης δε του μεν σωματος εἰ και τινα ταφον ἐχει, οὐκ οἶδεν· οὐδε γαρ ἐμελεν αυτω τουτου· λογον δε τοῖς ἀριστοις περι αὐτου καταλελοιπεν, ἀνδρος βιον βεβιωκως, ὑψηλοτερον, ὦ Καρῶν ἀνδραποδωδεστατε, του σου μνηματος, και ἐν βεβαιοτερῳ χωριῳ κατεσκευασμενον.

PHILIPPUS ALEXANDER.

ΦΙΛ.

Νυν μεν, ὦ 'Αλεξανδρε, οὐκ ἀν ἐξαρνος γενοιο, μη οὐκ ἐμος υἱος εἶναι· ὁ γαρ ἀν ἐθετνηκεις. 'Αμμωνος γε ὤν. ΑΛ. οὐδ' ἀυτος 'ηγνοουν, ὦ πατερ, ὡς Φιλιππȣ του 'Αμυντου υἱος εἰμι· ἀλλ' ἐδε-

ξαμην τὸ μάντευμα, ὡς χρήσιμον ἐς τὰ πράγματα οἰόμενος εἶναι. ΦΙΛ. Πῶς λέγεις; χρήσιμον ἐδόκει σοι τὸ παρέχειν σεαυτὸν ἐξαπατηθησόμενον ὑπὸ τοῦ προφητῶν; ΑΛ. Οὐ τοῦτο· ἀλλ' οἱ βάρβαροι κατεπλάγησάν με, καὶ οὐδεὶς ἔτι ἀντίστατο, οἰόμενοι θεῷ μάχεσθαι· ὥστε ῥᾷον ἐκράτουν αὐτῶν. ΦΙΛ. Τίνων ἐκράτησας σύ γε ἀξιομάχων ἀνδρῶν, ὃς δειλοῖς ἀεὶ συνηνέχθης, τοξάρια, καὶ πελτάρια, καὶ γέρρα οἰσύϊνα προβεβλημένοις; Ἑλλήνων κρατεῖν ἔργον ἦν, Βοιωτῶν, καὶ Φωκέων, καὶ Ἀθηναίων, καὶ τὸ Ἀρκάδων ὁπλιτικὸν, καὶ τὴν Θετταλὴν ἵππον, καὶ τοὺς Ἠλείων ἀκοντιστὰς, καὶ τὸ Μαντινέων πελταστικὸν, ἢ Θρᾶκας, ἢ Ἰλλυριοὺς, ἢ καὶ Παίονας χειρώσασθαι, ταῦτα μεγάλα. Μήδων δὲ, καὶ Περσῶν, καὶ Χαλδαίων, καὶ χρυσοφόρων ἀνθρώπων καὶ ἁβρῶν οὐκ οἶσθα, ὡς πρὸ σοῦ μύριοι μετὰ Κλεάρχου ἀνελθόντες ἐκράτησαν, οὐδ' ἐς χεῖρας ὑπομεινάντων ἐλθεῖν ἐκείνων, ἀλλὰ πρὶν ἢ τόξευμα ἐξικνεῖσθαι φυγόντων. ΑΛ. Ἀλλ' οἱ Σκύθαι γε, ὦ πάτερ, καὶ οἱ Ἰνδῶν ἐλέφαντες οὐκ εὐκαταφρόνητόν τι ἔργον, καὶ ὅμως οὐ διαστήσας αὐτοὺς, οὐδὲ προδοσίαις ὠνούμενος τὰς νίκας, ἐκράτουν,

αὐτῶν· οὐδ' ἐπιώρκησά ποτε, ἢ ὑποσχόμενος ἐψευσάμην, ἢ ἄπιστον ἔπραξά τι τοῦ νικᾶν ἕνεκα, καὶ τοὺς Ἕλληνας δὲ τοὺς μὲν ἀναιμωτὶ παρέλαβον, Θηβαίους δὲ ἴσως ἀκούεις, ὅπως μετῆλθον. ΦΙΛ. οἶδα ταῦτα πάντα. Κλεῖτος γὰρ ἀπήγγειλέ μοι, ὃς σὺ τῷ δορατίῳ διελάσας μεταξὺ δειπνοῦντα ἐφόνευσας, ὅτι με πρὸς τὰς σὰς πράξεις ἐπαινέσαι ἐτόλμησε. Σὺ δὲ καὶ τὴν Μακεδονικὴν χλαμύδα καταβαλὼν, κάνδυν, ὥς φασι, μετενέδυς, καὶ τιάραν ὀρθὴν ἐπέθου, καὶ προσκυνεῖσθαι ὑπὸ Μακεδόνων, ὑπ' ἐλευθέρων ἀνδρῶν ἠξίους· καὶ τὸ πάντων γελοιότατον, ἐμιμοῦ τὰ τῶν νενικημένων. ἐῶ γὰρ λέγειν ὅσα ἄλλα ἔπραξας, λέουσι συγκατακλείων πεπαιδευμένους ἄνδρας, καὶ γάμους τινὰς γάμων, καὶ Ἡφαιστίωνα ὑπεραγαπῶν· ἓν ἐπῄνεσα μόνον ἀκούσας, ὅτι ἀπέσχου τῆς τοῦ Δαρείου γυναικὸς καλῆς οὔσης, καὶ τῆς μητρὸς αὐτοῦ, καὶ τῶν θυγατέρων ἐπεμελήθης· βασιλικὰ γὰρ ταῦτα. ΑΛ. Τὸ φιλοκίνδυνον δὲ, ὦ πάτερ, οὐκ ἐπαινεῖς, καὶ τὸ ἐν Ὀξυδράκαις πρῶτον καταλᾶσθαι εἰς τὸ ἐντὸς τοῦ τείχους, καὶ τοσαῦτα λαβεῖν τραύματα; ΦΙΛ. οὐκ ἐπαινῶ τοῦτο, ὦ Ἀλέξανδρε, οὐχ ὅτι

μη καλον εἶναι οἶμαι και τιτρωσκεσθαι ποτε τον βασιλεα, και προκινδυνευειν του στρατου · ἀλλ' ὁτε σοι τοιῦτο ἥκιστα συνεφερε · θεος γαρ εἶναι δοκῶν, ἐι ποτε τρωθειης, και βλεποιεν σε φοραδην του πολεμου ἐκκομιζομενον, ἁιματι ῥεομενον, οιμαζοντα ἐπι τῷ τραυματι, ταῦτα γελως ἦν τοῖς ὁρῶσι · και ὁ Ἀμμων γοης και ψευδομαντις ἠλεγχεθο, και οἱ προφῆται κολακες. ἡ τις οὐκ ἀν ἐγελασεν ὁρῶν τον τοῦ Διος υἱον λειποψυχοῦντα, δεομενον τοῦ ἰατρῶν βοηθεῖν · νῦν μενγαρ, ὁποτε ἠδη τεθνηκας, οὐκ οἰει πολλους εἶναι τους την προσποιησιν ἐκεινην ἐπικερτομοῦντας, ὁρῶντας τον νεκρον τοῦ θεοῦ ἐκταδην κειμενον, μυδῶντα ἠδη και ἐξῳδηκοτα κατα νομον σωματῶν ἀπαντων; ἀλλως τε και το χρησιμον ὁ ἐφης, Ἀλεξανδρε, το δια ταῦτο κρατεῖν ῥαδιως, πολυ σε της δοξης ἀφηρεῖτο τῶν κατορθυμενων · πᾶν γαρ ἐδοκει ἐνδεες ὑπο θεοῦ γενεσθαι δοκοῦν. ΑΛ. Οὐ ταῦτα φρονοῦσιν οἱ ἀνθρωποι περι ἐμοῦ, ἀλλ' Ἡρακλεῖ και Διονυσῳ ἐνaμιλλον τιθεοσι με καιτοι την Ἀορνον ἐκεινην, οὐθ' ἑτεροῦ ἐκεινων λαβοντος, ἐγω μονος ἐχειρωσαμην · ΦΙΛ. ὁρᾷς ὁτι ταῦτα ὡς υἱος Αμμωνος λεγεις, ὁς Ἡρακλεῖ και Διονυ-

σῳ παραβαλλεις σεαυτον; και ουκ αισχυνη, ὦ Ἀλεξανδρε, ουδε τον τυφον απομαθησῃ, και γνωσῃ σεαυτον, και συνῄς ἠδη νεκρος ὢν;

CNEMON. DAMIPPUS

KNH.

Τουτο ἐκεῖνο το τῆς παροιμιας· Ὁ νεβρος τον λεοντα. ΔΑ. τι ἀγανακτεῖς, ὦ Κνημων; ΚΝ. πυνθανῃ ο, τι ἀγανακτῶ; κληρονομον ἀκουσιος καταλελοιπα, κατασοφισθεις ὁ ἀθλιος, ὓς ἐβουλομην ἂν μαλιστα σχεῖν ταμα. παραλιπων. ΔΑ. πῶς τουτ' ἐγενετο; ΚΝ. Ἑρμολαον τον πανυ πλουσιον ἀτεκνον ὀντα ἐθεραπευον ἐπι θανατῳ· κακεῖνος συκ ἀηδῶς την θεραπειαν προσιετο· ἐδοξε δε μοι και σοφον τουτ' εἶναι, θεσθαι διαθηκας ἐς το φανερον, ἐν αἷς ἐκεινῳ καταλελοιπα ταμα παντα, ὡς κακεῖνος ζηλωσειε, και τα αυτα πραξειε. ΔΑ. τι οὖν δη ἐκεῖνος; ΚΝ. ὁ, τι μεν οὖν αὐτος ἐνεγραψε ταῖς ἑαυτοῦ διαθηκαις, οὐκ οἶδα, ἐγὼ γοῦν ἀφνω ἀπεθανον, τοῦ τεγους μοι ἐπιπεσοντος· και νῦν Ἑρμολαος ἐχει ταμα, ὥσπερ τις λαβραξ και το ἀγκιστρον τῷ

δελεατι συγκατασπασας. ΔΑ. ȣ μονον, ἀλλα και αὐτον σε τον ἁλιεα· ὡστε σοφισμα κατα σαυτοῦ συντεθεικας. ΚΝ. ἐοιχα οἰμώζω τοιγαροῦν.

CHARON MENIPPUS MERCURIUS.

ΧΑΡ.

Ἀποδος, ὦ καταρατε, τα πορθμια· MEN. βοα, ἐι τοῦτο σοι ἡδιον, ὦ χαρων. ΧΑΡ. ἀποδος φημι, ἀντ' ὧν σε διεπορθμευσαμην. MEN. 'ουκ ἂν λαβοις παρα τοῦ μη ἐχοντος. ΧΑΡ. ἐστι δε τις 'οβολον μη ἐχον; MEN. ἐι μεν και ἀλλος τις, οὐκ οἶδα, ἐγω δε οὐκ ἐχω. ΧΑΡ. και μεν ἀγξω σε νη τον πλουτωνα, ὦ μιαρε, 'ην μη ἀποδῷς. MEN. καγω τῷ ξυλῳ σου παταξας διαλυσω το κρανιον. ΧΑΡ. ματην οὐν ἐση πεπλευκως τοσοῦτον πλοῦν. MEN. ὁ 'Ερμῆς ὑπερ ἐμοῦ σοὶ ἀποδοτω, ὅς με παρεδωκε σοι. ΕΡ. Νη Δια ὀναιμην, ἐι μελλω γε και ὑπερεκτινειν τῶν νεκρῶν. ΧΑΡ. οὐκ ἀποστησομαι σου. MEN. τουτου γε ἑνεκα νεωλκησας το πορθμεῖον παραμενε πλην

ἀλλ᾽ ὁ, γε μη ἐχω, πως ἀν λαβοις; ΧΑΡ. συ δ᾽ ουκ ᾽ηδεις ὡς κομιζειν δεον; ΜΕΝ. ᾽ηδειν μεν, ουκ εἰχον δε, τι οὖν; ἐχρῆν δια τουτο μη ἀποθανειν; ΧΑΡ. μονος οὖν αὐχησεις προικα πεπλευκεναι; ΜΕΝ. οὐ προικα, ὦ βελτιστε, και γαρ ᾽ηντλησα, και της κωπης ἐπελαβομην, και ουκ ἐκλαιον μονος των ἀλλων ἐπιβατων. ΧΑΡ. οὐδεν ταυτα προς τα πορθμια· ΜΕΝ. Οὐκοῦν ἀπαγαγε με αὖθις ἐς τον βιον· ΧΑΡ. χαριεν λεγεις, ἱνα και πληγας ἐπι τουτῳ παρα του Αἰακοῦ προσλαβω. ΜΕΝ. μη ἐνοχλει οὖν. ΧΑΡ. δεῖξον τι ἐν τῃ πηρᾳ ἐχεις. ΜΕΝ. θερμους, εἰ θελεις, και της Ἑκαθης το δεῖπνον. ΧΑΡ. ποθεν τουτον ᾽ημῖν, ὦ Ἑρμῆ, τον κυνα ᾽ηγαγες; οἷα δε και ἐλαλει παρα τον πλοῦν, των ἐπιβατων ἀπαντων καταγελων, και ἐπισκωπτων, και μονος ᾀδων, οἰμωζοντων ἐκεινων. ΕΡ. ἀγνοεῖς, ὦ Χαρων, ὁποῖον ἀνδρα διεπορθμευσας; ἐλευθερον ἀκριβως κοὐδενος αὐτῳ μελει· οὗτος ἐστιν, ὁ Μενιππος, ΧΑΡ. και μην ἀν σε λαβω ποτε. ΜΕΝ. ἀν λαβῃς, ὦ βελτιστε, δις δε οὐκ ἀν λαβοις.

MENIPPUS TANTALUS

MEN.

TI κλαεις, ὦ Ταντάλε; ἢ τι σεαυτον 'οδυρη, επι τῇ λιμνη ἑστως; TAN. ὁτι, ὦ Μενιππε, ἀπολωλα ὑπο τῦ διψους. ME. οὑτως ἀργος εἰ, ὡς μη ἐπικυψας πιεῖν, 'η και νη Δἰ ἀρυσαμενος κοιλῃ τῇ χειρι: TAN. ουδεν ὀφελος. εἰ ἐπικυψαιμι· φευγει γαρ το ὑδωρ. ἐπειδαν προσιοντα αἰσθηται με· 'ην δε ποτε και ἀρυσωμαι, και προσενεγκω τῷ στοματι, ἐ φθανω βρέξας ἀκρον το χειλος. και δια τῶν δακτυλων διαῤῥυεν, ἐκ οἰδ' ὁπως αὖθις απολειπει ξηραν την χεῖρα μυ. ME. τερατιον τι πασχεις, ὦ Ταντάλε. ἀταρ εἰπε μοι, τι γαρ και δεη τοῦ πιεῖν; ἐ γαρ σῶμα ἐχεις· αλλ' ἐκεῖνο μεν ἐν Λυδιᾳ πυ τεθαπται, ὁπερ και πεινῆν, και διψην ἐδυνατο· συ δε ἡ ψυχη, πῶς ἀν ἐτι 'η διψωης, ἢ πινοις; TAN. τῦτ' αὐτο ἡ κολασις ἐστι, το διψῆν μυ την ψυχην, ὡς σῶμα οὖσαν. ME. ἀλλα τῦτο μεν οὑτω πιστευσομεν, ἐπει φης τῷ διψει κολαζεσθαι· τι δ' ἂν σοι τό δεινον ἐσται; ἢ δεδιας

μη ἐνδεια του ποτȣ ἀποθανης; οὐχ ὁρω γαρ ἀλλον μετα τουτον ᾳδην, ἡ θανατον ἐντευθεν εἰς ἑτερον τοπον. ΤΑΝ. ὀρθως μεν λεγεις· και τουτο δ' ἓν μερος της καταδικης, το ἐπιθυμειν πιειν μηδεν δεομενον. ΜΕ. ληρεις. ὦς Ταντάλε, και ὡς ἀληθως ποτου δεισθαι δοκεις, ἀκρατȣ γε ἐλλεβορȣ νη Δια, ὁστις τȣναντιον τοις ὑπο των λυττωντων κυνων δεδηγμενοις πεπονθας, ȣ το ὑδωρ, ἀλλα την διψαν πεφοβημενος. ΤΑΝ. οὐδε τον ἐλλεβορον, ὠ Μενιππε, ἀναινομαι πιειν, γενοιτο μοι μονον. ΜΕ. θαῤῥει, ὦ Ταντάλε, ὡς ουτε ἀλλος πιεται των νεκρων· ἀδυνατον γαρ· καιτοι ȣ παντες, ὡσπερ συ, ἐκ καταδικης διψωσι, του ὑδατος αὐτȣς ουχ ὑπομενοντος.

MENIPPUS ÆACUS PITHAGORAS EMPEDOCLES SOCRATES.

MEN.

Προς του Πλȣτωνος, ὦ Αἰακε, περιηγησαι μοι τα ἐν ᾳδου παντα. ΑΙ. οὐ ῥᾳδιον, ὦ Μενιππε, ἁπαντα· ὁσα μεντοι κεφαλαιωδη, μανθανε· ȣτοσι μεν, ὁτι

Κερβερος ἐστιν, οἶσθα. και τον πορθμεα τυτον, ὁς σε διεπερασε, και την λιμνην, και τον Πυριφλεγεθοντα ἠδη ἑωρακας εσιων· ΜΕ. οἶδα ταῦτα· και σε, ὁτι πυλαρεῖς· και τον βασιλεα εἶδον. και τας Ἐριννῦς· τους δ' ἀνθρωπους μοι τυς παλαι δεῖξον, και μαλιστα τυς ἐπισημους αὐτῶν. ΑΙ οὗτος μεν Αγαμεμνων· ὗτος δ' Αχιλλευς· οὗτος δε Ἰδομενευς πλεσιον, επειτα Ὀδυσσευς, εἶτα Αἰας, και Διομηδης. και οἱ ἀριστοι τῶν Ἑλληνων. ΜΕ. βαβαι Ὀμηρε, οἷα σοι τῶν ῥαψῳδιῶν τα κεφαλαια χαμαι ἐῤῥιπται ἀγνωστα, και ἀμορφα. κονις παντα, και λῆρος πολυς. ἀμενηνα ὡς ἀληθῶς χαρηνα. οὗτος, δε ὦ Αἰακε. τις ἐστι; ΑΙ. Κῦρος ἐστιν· οὗτος δε Κροῖσος. και παρ αὐτῷ Σαρδαναπαλος· ὁ δ' ὑπερ τουτυς, Μιδας· ἐκεῖνος δε Ξερξης. ΜΕ. εἶτα σε, ὦ καθαρμα, ἡ Ἑλλας ἐφριττε ζευγνῦντα μεν τον Ἑλλησποντον, δια δε τῶν ὀρῶν πλεῖν ἐπιθυμοῦντα; οἷος δε και ὁ Κροῖσος ἐστι· τον Σαρδαναπαλον δε, ὦ Αἰακε, παταξαι μοι κατα κοῤῥης ἐπιτρεψον ΑΙ. μηδαμῶς, διαθρυψεις γαρ αὐτοῦ το κρανιον γυναικεῖον 'ον ΜΕ. ὐκυν ἀλλα προσπτυξομαι γε παντως ἀνδρογυνῳ 'οντι. ΑΙ. βυλει σοι ἐπιδειξω και τυς

σοφȣς; ΜΕ. νη Δια γε. ΑΙ. πρῶτος 'ουτος σοι 'ο Πυθαγορας ἐστι. ΜΕ. χαῖρε. ὦ Εὔφορβε, 'η 'Απολλον, 'η ὁ, τι ἀν ἐθελῃς. ΠΥ. νη και συ γε. ὦ Μενιππε. ΜΕ. ȣκ ἐτι χρυσȣς ὁ μηρος ἐστι σοι; ΠΥ. ȣ γαρ· ἀλλα φερε ἴδω εἰ τι σοι ἐδαδιμον ἡ πηρα ἐχει. ΜΕ. χυαμȣς, ὦ 'γαθε· ὡστε ȣ τȣτο σοι ἐδωδιμον. ΠΥ δος μονον. ἀλλα παρα νεκροῖς δογματα· ἐμαθον γαρ, ὡς ȣδεν ἰσον κυαμοι, και κεφαλαι τοκηων ενθαδε. ΑΙ. ȣτος δε Σολων ὁ 'Εξηκεστιδου, και Θαλῆς ἐκεῖνος, και παρ' αὐτ̃ις Πιττακος, και οἱ ἀλλοι· ἑπτα δε παντες εἰσιν, ὡς ὁρᾷς. ΜΕ. ἀλυποι ȣτοι, ὦ Αἰακε, μονοι, και φαιδροι τῶν ἀλλων· ο δε σποδοῦ πλεως, ὡσπερ εγκρυφιας ἀρτος. ὁ ταῖς φλυκταιναις ὁλος ἐξηνθηκως, τις ἐστιν; ΑΙ. Εμπεδοκλῆς, ὦ Μενιππε, ἡμιεφθος ἀπο τῆς Αἰτνης παρων. ΜΕ. ὦ χαλκοπȣ βελτιστε, τι παθων σαυτον ἐς τȣς κρατῆρας ἐνεβαλες; ΕΜ. μελαγχολια τις, ὦ Μενιππε. ΜΕ. ȣ μα Δια, ἀλλα κενοδοξια, και πολλη κορυζα· ταῦτα σε απηνθρακωσεν αὐταῖς κρηπισιν ȣκ ἀξιον ὀντα· πλην ἀλλ' ȣδην σε το σοφισμα ὠνησεν· ἐφωραθης γαρ τεθνεως· ὁ Σωκρατης δε, ὦ Αἰακε, πȣ ποτε ἀρα ἐστι;

ΑΙ. μετα Νεστορος, και Παλαμιδȣς ἐκεῖνος ληρεῖ τα πολλα. ΜΕ. ὁμως ἐβουλομην ἰδεῖν αὐτον. εἰπȣ ἐνθαδε εστιν. ΑΙ. ορᾶς τον φαλακρον; ΜΕ. ἁπαντες φαλακροι εἰσιν· ὡστε παντων ἀν εἰη τȣτο το γνωρισμα. ΑΙ. τον σιμον λεγω. ΜΕ. και τȣθ' ὁμοιον· σιμοι θαρ ἁπαντες. ΣΩ. ἐμε ζητεῖς. ὦ Μενιππε; ΜΕ. και μαλα, ὦ Σωκρατες. ΣΩΚ. τι τα ἐν Ἀθηναις; ΜΕ. πολλοὶ τῶν νεων φιλοσοφεῖν λεγȣσι, και τα γε σχηματα αὐτα, και τα βαδισματα. εἰ θεασαιτο τις, ἀκροι φιλοσοφοι. ΣΟΚ. μαλα πολλους ἑώρακα. ΜΕ. ἀλλ' ἑωρακας, οἶμαι, οἷος ἡκε παρα σοι Ἀριστιππος, και Πλατων αὐτος ὁ μεν αποπνεων μυρȣ· ὁ δε τȣς ἐν Σικελιᾳ τυραννȣς θεραπευειν ἐκμαθων. ΣΩΚ. περι ἐμȣ δε τι φρονȣσιν; ΜΕ. εὐδαιμων ὦ Σωκρατης, ἀνθρωπος εἶ. τα γε τοιαῦτα· παντες ȣν δε θαυμασιον οἴονται ἀνδρα γεγενῆσθαι, και παντα ἐγνωκεναι, και ταῦτα (δεῖ γαρ, οἶμαι, τἀληθες λεγειν) ȣδεν εἰδοτα. ΣΩΚ. και αὐτος ἐφασχον ταῦτα προς αὐτȣς· οἱ δε εἰρωνειαν ᾤοντο το πρᾶγμα εἶναι. ΜΕ. Τινες δε ȣτοι εἰσιν οἱ περι σε; ΣΩΚ· Χαρμιδης, ὦ Μενιππε, και Φαῖδρος, και ὁ τȣ Κλεινιȣ. ΜΕ. ὦ Σωκρατες; ὁτι καν-

ταῦθα μετει την σαυτου τεχνην, και ἐκ ὀλιγωρεῖς τῶν καλῶν. ΣΩΚ. Τι γαρ ἀν ἀλλο ἡδιον πραττοιμι, 'αλλα πλησιον ἡμῶν κατακεισο, εἰ δοκεῖ. ΜΕ. μα Δί, ἐπι τον Κροισον γαρ, και Σαρδαναπαλον ἀπειμι. πλησιον οἰκησων αὐτῶν ἐοικα γοῦν οὐκ ὀλιγα γελασεσθαι, 'οιμαζον ων ακουων· ΑΙ. καγω 'ηδη ἀπειμι, μη και τις ημας νεκρῶν λαθη διαφυγων. τα πολλα δ' ἐσαῦθις ὀψει, ὠ Μενιππε. ΜΕ. ἀπιθι· και ταυτι γαρ ἱκανα, ὦ Αἰακε.

NIREUS THERSITES MENIPPUS.

NIP.

ΙΔου δη Μενιππος, οὑτοσι δικασι, ποτερος εὐμορφοτερος ἐστιν· εἰπε, ὦ Μενιππε, οὐ καλλιων σοι δοκῶ. MEN. τινες δε και ἐστε; προτερον, οἶμαι, χρη γαρ τοῦτο εἰδεναι NIP. νιρευς, και Θερσιτης. MEN. ποτερος οὖν ὁ νιρευς, και ποτερος ὁ Θερσιτης; οὐδεπω γαρ τοῦτο δῆλον. ΘΕΡ. ἐν μεν 'ηδη τοῦτ' ἐχω. ὁτι ὁμοιος εἰμι σοι, και οὐδεν τηλικοῦτον διαφερεις, ἡλικον σε ομηρος ἐκεῖνος ὁ τυ-

φλος ἐπῄνεσεν. ἁπαντων εὐμορφοτατον προσειπα̉ν· ἀλλ' ὁ φοξος ἐγω, και ψεδνος, οὐδεν χειρων ἐφανην τῳ δικαστῃ, ὁρα συ δε, ὦ Μενιππε, ὁν τινα και εὐμορφοτερον ἡγῃ. ΝΙΡ. εμε γε τον Αγλαϊας, και Χαροπος, ὁς καλλιστος ἀνηρ ὑπο Ἰλιον ἦλθον. ΜΕΝ. Ἀλλ' οὐχ' και ὑπο γης, ὡς οἶμαι, καλλιστος ἦλθες ἀλλα τα μεν ὀστα ὁμοια, το δε κρανιον ταυτη μονον ἀρχ διακρινοιτο ἀπο του Θερσιτου κρανιυ, ὁτι εὐθρυπτον το σον, ἀλαπαδνον γαρ αὐτο, και οὐκ ἀνδρωδες Ἰεχεις. ΝΙΡ. και μην ἐρου Ομηρον ὁποῖος ἦν, ὁποτε συνεστρατευον τοῖς Ἀχαιοῖς. ΜΕΝ. ονειρατα μοι λεγεις· ἐγω δε ἁ βλεπω και νυν ἐχεις· ἐκεῖνα δε οἱ τοτε ἰσασιν. ΝΙΡ. οὐκουν ἐγω ἐνταυτα εὐμορφοτερος εἰμι, ὦ Μενιππε; ΜΕΝ. οὐτε συ οὐτε ἀλλος εὐμορφος, ἰσοτιμια γαρ ἐν αδου, και ὁμοιοι ἁπαντες ΘΕΡ. ἐμοι μεν και τουτο ἱκανον.

DIOGENES POLLUX

ΔΙΟ.

Ω Πολυδευκες, ἐντελλομαι σοι ἐπειδαν ταχιστα ἀνελθῃς (σον γαρ ἐστιν,

οἶμαι, το ἀναβιῶναι αὔριον) ἢν που ἴδῃς Μενιππον τον κυνα (εὕροις δ' ἂν αὐτον ἐν Κορινθῳ κατα το Κρονειον, ἢ ἐν Λυκείῳ των ἐριζοντων προς αλληλους φιλοσοφων καταγελῶντα) εἰπεῖν προς αὐτον ὅτι σοι, ὦ Μενιππε, κελευει, ὁ Διογενης, εἰ σοι ἱκανῶς τα ὑπερ γῆς καταγεγελαστναι, ἥκειν ἐνθαδε πολλῶ πλειω ἐπιγελασομενον· ἐκεῖ μεν γαρ ἐν αμφιβολῳ σοι ἔτι ὁ γελως ἦς, και πολυ το, τις γαρ ὅλως οἶδε τα μετα τον βιον; ενταῦτα δε ȣ παυσῃ βεβαιως γελῶν· καταπερ ἐγω νῦν, καὶ μαλιστα ἐπειδαν ὁρᾷς τους πλȣσιους, και σατραπας, και τυραννους οὕτω ταπεινους, και ἀσημους ἐκ μονης οἰμωγῆς διαγινωσκομενους· και ὅτι μαλθακοι, και ἀγεννεῖς εἰσι, μεμνημένοι του ἄνω· ταῦτα λεγε αὐτῷ· και προσετι ἐμπλησαμενον την πηραν ἥκειν θερμων τε πολλῶν και εἰ που εὕροι ἐν τῇ τριοδω Ἑκατης δεῖπνον κειμενον, ἢ ὠον ἐκ καθαρσιον, ἤ τι τοιȣτο. ΠΟΛ. Ἀλλ' ἀπαγγελῶ ταῦτα, ὦ Διογενες· ὅπως δε ειδῶ μαλιστα ὁποῖος τις ἐστι την ὄψιν; ΔΙΟ. γερων. φαλακρος, τριβωνιον εχων πολυθυρον, ἅπαντι ἀνεμῳ ἀναπεπταμενον, και ταῖς ἐπιπτυχαῖς τοῦ ῥακιων ποικιλον. γελᾷ δ' ἀει, και τα πολλα τους

ἀλαζονας τουτους φιλοσοφους ἐπισκωπτει. ΠΟΛ. ῥαδιον εὑρειν ἀπο γε τουτων. ΔΙΟ. βουλει και προς αὐτους ἐκεινους ἐντειλωμαι τι τους φιλοσοφους; ΠΟΛ. λεγε· οὐ βαρυ γαρ οὐδε τουτο· ΔΙΟ. το μεν ὁλον παυσασθαι αὐτοις παρεγγυα ληρουσι, και περι του ὁλων ἐριζουσι, και κερατα φυουσιν ἀλληλοις, και κροκοδειλους και τοιαυτα ἀπορα ἐρωταν διδασκουσι τον νουν. ΠΟΛ ἀλλ' ἐμε αμαθη και ἀπαιδευτον εἰναι φησουσι κατηγορουντα της σοφιας αὐτων. ΔΙΟ. συ δε 'οιμωζειν αὐτοις παρ ἐμου λεγε. ΠΟΛ. και ταυτα, ὠ Διογενες, ἀπαγγελω. ΔΙΟ. Τοις πλουσιοις δε. ὠ φιλτατον πολυδευκιον, ἀπαγγελε ταυτα παρ' ἡμων· τι ὠ ματαιοι τον χρυσον φυλαττετε; τι δε τιμωρεισθαι ἑαυτους λογιζομενοι τους τοκους, και ταλαντα ἐπι ταλαντοις συντιτεντες, ὡς χρη ἑνα 'οβολον ἐχοντας ἡκειν μετ' ὀλιγου; ΠΟΛ. εἰρησεται και ταυτα προς ἐκεινους ΔΙΟ. ἀλλα και τοις καλοις γε και ἰσχυροις λεγε. Μεγιλλω τε τω Κορινθιω, και Δαμοξενω τω παλαιστῃ, ὁτι παρ 'ημιν ὑτε ἡ ξανθη κομη, ὑτε τα χαροπα, ἡ μελανα 'ομματα, ἡ ἐρυθημα ἐπι του προσωπου ἐτι ἐστιν, ἡ νευρα ἐυτονα, 'η ὠμοι καρτεροι· ἀλλα

παντα μια 'ημῖν κονις, φασι, κρανια γυμνα τοῦ καλλους. ΠΟΛ. οὐ χαλεπον οὐδε ταυτα ἐιπεῖν προς τους καλους και ἰσχυρους. ΔΙΟ. Και τοῖς πενησιν. ὦ Λακων, (πολλοι δ' εἰσι, και αχθομενοι τῳ πραγματι καί οικτειροντες την ἀποριαν) λεγε μητε δακρυειν. μητ' οἰμωζειν, διηγησαμενος την ἐνθαῦτα ισοτιμιαν· και ὁτι 'οψονται τους ἐκεῖ πλουσιους οὐδεν ἀμεινους ἀυτῶν, και Λακεδαιμονιοις δε τοῖς σοῖς ταῦτα, ἐι δοκεῖ, παρ' ἐμοῦ ἐπιτιμησον, λεγων ἐκλελυσθαι αὐτους. ΠΟΛ. μηδεν, ὦ Διογενες, περι Λακεδαιμονιων λεγε· οὐ γαρ ἀνεξομαι γε ἀ δε προς τους αλλους ἐρησθα, ἀπαγγελῶ. ΔΙΟ. εἀσωμεν τουτους, ἐπει σοι δοκεῖ· συ δε οἷς προεῖπον ἀπενεγκαι παρ' ἐμοῦ τους λογους.

CHARON, MERCURIUS, MORTUI, MENIPPUS, CHARMOLAUS, LAMPICHUS, DAMASIUS, PHILOSOPHUS, RHETOR.

ΧΑΡ.

ΑΚουσατε, ὠ̃ ἔχει ἡμι̃ν τα πραγματα, μικρον μεν ὑμι̃ν, ὡς ὁρα̃τε, το σκαφιδιον, και ὑποσαθρον ἐστι, και διαῤῥει̃ τα πολλα, και ἠν τραπη̃ ἐπι θατερα, οἰχησεται περιτραπεν· ὑμει̃ς δε τοσου̃τοι ἁμα ἡκετε, πολλα ἐπιφερομενοι ἑκαστος ἠν οὐ̃ν μετα τουτων ἐμβη̃τε, δεδια μη ὑστερον μετανοησετε· και μαλιστα ὁποσοι νει̃ν οὐκ ἐπιστασθε. ΝΕΚ. πω̃ς οὐ̃ν ποιησαντες εὐπλοησομεν; ΧΑΡ. εγω ἡμι̃ν φρασω· γυμνους ἐπιβαινειν χρη τα περιττα ταυ̃τα παντα ἐπι τη̃ς ἠιονος καταλιποντας· μολις γαρ ἀν και οὑτω δεξαιτο ὑμας το πορθμει̃ον. σοι δε, ὠ̃ Ερμη̃, μελησει το ἀπο τουτου μηδενα παραδεχεσθαι αὐτω̃ν, ὁς ἀν μη ψιλος ᾐ, και τα ἐπιπλα, ὡσπερ ἐφην ἀποβαλων· παρα δε την ἀποβατραν ἑστως διαγινωσκε αυτους, και ἀναλαμβανε, γυμνους επιβαινειν ἀναγκαζων. ΕΡ. εὐ̃ λεγεις και

οὕτω ποιησωμεν. οὑτοσι τις ὁπρῶτος ἐστι; ΜΕΝ. Μενιππος εγωγε· ἀλλ' ἰδου ἡ πηρα μοι, ὦ Ἑρμῆ, και το βακτρον ἐς την λιμνην ἀπεῤῥιφθων· τον τριβωνα δε οὐδ' ἐκομισα, εὖ ποιῶν. ΕΡ. ἐμβαινε, ὦ Μενιππε ἀνδρῶν ἀριστε. και την προεδριαν ἐχε παρα τον κυβερνητην ἐφ' ὑψηλοῦ ὡς ἐπισκοπῆς ἁπαντας. ὁ καλος δ' οὗτος, τις ἐστι, ΧΑΡ. Χαρμολεως ὁ Μεγαρικος, ἐπεραστος· τοῦ το φιλημα διταλαντον ἦν. ΕΡ. ἀποδυθι τοιγαροῦν το καλλος, και τα χειλη αὐτοῖς φιλημασι, και την κομην την βαθεῖαν, και το ἐπι τῶν παρειῶν ἐρυθημα, και το δερμα ὁλον, εχει καλως, εὔζωνος εἶ, επιβαινε ἤδη· Ὁ δε την πορφυριδα οὑτοσι, και το διαδημα, ὁ βλοσυρος, τις ὢν τυγχανεις; ΛΑΜ. Λαμπιχος, Γελωων τυραννος, ΕΡ. τι οὖν, ὦ Λαμπιχε, τοσαῦτα ἐχων παρει; ΛΑΜ. τι οὖν, ἐχρῆν, ὦ Ερμῆ, γυμνον ἡκειν τυρανιον ἀνδρα. ΕΡ. τυραννον μεν οὐδαμως, νεκρον δε μαλα ὡστε ἀποθου ταῦτα. ΛΑΜ. ἰδευ σοι ὁ πλουτος ἀπεῤῥιπται. ΕΡ. και τον τυφον ἀποῤῥιψον, ὦ Λαμπιχε, και την ὑπαροψιαν· βαρησει γαρ το πορθμεῖον συνεμπεσοντα. ΛΑΜ. οὐκοῦν ἀλλα το διαδημα ἐασον με ἐχειν, και την ε-

φεστριδα. ΕΡ. ουδαμως, αλλα και ταυτα αφες. ΛΑΜ. ειεν τι ετι; παντα γαρ αφηκα. ως ορας. ΕΡ. και την ωμοτητα, και την ανοιαν, και την υβριν και την οργην, και ταυτα αφες. ΛΑΜ. ιδου σοι ψιλος ειμι ΕΡ. εμβαινε 'ηδη. Συ δε ο πoχυς, ο πολυσαρκος, τις ει; ΔΑΜ. Δαμασιας ο αθλητης. ΕΡ. και εοικας, οιδα γαρ σε πολλακις εν ταις παλαιστραις ιδων. ΔΑΜ. και, ω Ερμη, αλλα παραδεξαι με γυμνον 'οντα. ΕΡ. ου γυμνον, ω βελτιστε, τοσαυτας σαρκας περιβεβλημενον. ωστε αποδυθι αυτας, επει καταδυσεις το σκαφος, τον ετερον ποδα υπερθεις μονον· αλλα και τους στεφανους τουτους αποῤῥιψον, και τα κηρυγματα. ΔΑΜ. ιδου σοι γυμνος, ως ορας αληθως ειμι, και ισοστασιος τοις αλλοις νεκροις. ΕΡ. ουτως αμεινον αβαρη ειναι, ωστε εμβαινε. Και συ δε τον πλουτον αποθεμενος, ω Κρατων, και την μαλακιαν δε προσετι, και την τρυφην, μηδε τα ενταφια κομιζε, μηδε τα των προγονων αξιωματα· καταλιπε δε και γενος, και δοξαν, και ει ποτε σε η πολις ανεκηρυξεν ευεργετην δηλονοτι, και τας των ανδριαντων επιγραφας, μηδε, οτι μεγαν ταφον επι σοι εχωσαν, λεγε βαρυνει γαρ και

ταῦτα μνημονευομενα. ΧΑΡ. οὐχ' ἑκων μεν ἀποῤῥιψω δε· τι γαρ ἀν και παθοιμι; ΕΡ. Βαβαι συ δε ὁ ἐνοπλος, τι Βουλει; ἡ τι το τροπαιον τοῦτο φερεις. ΣΤΡΑΤ. ὁτι ἐνικησα, ὦ Ερμῆ, καὶ 'ηριστευσα, και 'η πολις ἐτιμησε με. ΕΡ. ἀφες ἐν γῇ το τροπαιον· ἐν ἀδου γαρ εἰρηνη, και οὐδεν ὁπλων δεησει. 'Ο σεμνος δε οὗτος ἀπο γε τοῦ σχηματος, και βρενθυομενος, ὁ τας ὀφρῦς ἐπηρκας, ὁ ἐπι τῶν φροντιδων, τις ἐστιν ὁ τον βατυν πωγωνα κατειμενος; ΜΕΝ. φιλοσοφος τις, ὦ Ερμῆ, μᾶλλον δεγοης, και τερατειας μεστος, ὡστε ἀποδυσον και τοῦτον. 'οψει γαρ πολλα και γελοῖα ὑπο τῷ ἱματιῳ κρυπτομενα. ΕΡ. καταθου συ το σχῆμα πρῶτον· εἶτα και ταυτι παντα, ὦ Ζεῦ. ὁσην μεν την ἀλαζονειαν κομιζει, ὁσην δε ἀμαθιαν, και ἐριν. και κενοδοξιαν, και ἐρωτησεις ἀπορους και λογους ἀκανθωδεις, και ἐννοιας πολυπλοκους, ἀλλα και ματαιοπονιαν μαλα πολλην, και λῆρον οὐκ ὀλιγον, και ὑθλους, και μικρολογιαν· νη Δια και χρυσιον γε τουτι, και ἡδυπατειαν δε, και ἀναισχυντιαν, και ὀργην, και τρυφην, και μαλακιαν οὐ λαληθε γαρ με, εἰ και μαλα περικρυπτεις αὐτα, και το ψευ-

δος δε ἀποθȣ, και τον τυφον. και το οἰεσθαι ἀμεινω εἶναι τῶν ἀλλων. ὡς ἐιγε παντα ταῦτα ἐχων ἐμβαινοις, ποια πεντηκοντορος δεξαιτο ἀν σε; ΦΙΛ. ἀποτιτεμαι τοινυν αὐτα ἐπειπερ οὑτω κελευεις· MEN. Αλλα και τον πωγωνα τοῦτον ἀποθεσθω, ὦ Ερμῆ, βαρυν τε ὀντα, και λασιον, ὡς ὁρᾶς· πεντε μνῶν τριχες ἐισι τοὐλαχιστον. EP. εὖ λεγεις· ἀποθου και τουτον· ΦΙΛ. και τις ὁ ἀποκειρων ἐσται. EP. Μενιππος ȣτοσι λαβων πελεκυν τῶν ναυπηγικῶν, ἀποκοψει αὐτον, ἐπι κοπω τῇ ἀναβατρα χρησαμενος. MEN. οὐκ, ὦ Ερμῆ, ἀλλα πριονα μοι ἀναδος· γελοιοτερον γαρ τοῦτο. EP. ὁ πελεκους ἱκανος MEN. εὖγε ἀνθρωπινωτερον γαρ νῦν ἀναπεφηνος, ἀποτεμενος αὐτοῦ την κιναβραν· βουλει μικρον ἀφελωμαι και τοῦ ὀφρυων; EP. μαλιστα ὑπερ το με τωπον γαρ και ταυτας ἐπῆρκεν, οὐκ οἶδ' εφ' ὁτω ἀνατεινων ἑαυτον, τι τοῦτο; και δακρυεις, ὦ καταρμα, και προς θανατον ἀποδειλιᾷς; ἐμβηθι δ' οὖν. MEN. ἐν ἐτι το βαρυτατον ὑπο μαλης ἐχει. EP. τι, ὦ Μενιππε; MEN. κολακειαν, ὦ Ερμῆ, πολλα ἐν τῷ βιῳ χρησιμευσασαν αὐτῷ· ΦΙΛ. οὐκ οὖν και συ, ὦ Μενιππε; ἀποθου την

ἐλευτεριαν. και παῤῥησιαν, και το ἀλυπον, και το γενναιον, και το γελωτα· μονος γουν των ἀλλων γελας. ΕΡ. μηδαμως· ἀλλα και ἐχε ταυτα, κουφα γε και πανυ εὐφορα ὀντα, και προς τον καταπλουν χρησιμα. Και ὁ ῥητωρ δε συ, ἀποτου του ῥηματων την τοσαυτην ἀπεραντολογιαν, και ἀντιτεσεις, και παρισωσεις, και περιοδους, και βαρβαρισμους, και τ' ἀλλα·βαρη των λογων. ΡΗ. ἠν ἰδου, ἀποτιτεμαι. ΕΡ. εὖ ἐχει· ὡστε λυε τα ἀπογεια την ἀποβατραν ἀνελωμετα το ἀγκυριον ἀνεσπασθω· πετασον το ἱστιον, ἐυτυνε, ὦ πορτμευ, το πηδαλιον· εὖ παταμεν. Τι οἰμαζετε, ὦ ματαιοι, και μαλιστα ὁ φιλοσοφος συ, ὁ ἀρτιως τον πωγωνα δεδηαμενος; ΦΙΛ. ὁτι, ὦ Ἑρμη, ἀτανατον ᾠμην την ψυχην ὑπαρχειν. ΜΕΝ. ψευδεται ἀλλα γαρ ἐοικε λυπειν αὐτον; ΕΡ. τα ποια; ΜΕΝ. ὁτι μηκετι δειπνησι πολυτελη δειπνα, μηδε νυκτωρ ἐξιων, ἀπαντας λανθανων, τῳ ἱματιῳ την κεφαλην κατειλησας, περιεισιν ἐν κυκλῳ τα χαμαιτυπεια· και ἑωθην ἐξαπατων τους νεους ἐπι τῃ σοφιᾳ ἀργυριον ληψεται· ταυτα λυπει αὐτον ΦΙΛ. συ δε ὦ Μενιππε, οὐκ ἀχτῃ ἀποτανων; ΜΕΝ. πως, ὁς ἐσπουσα ἐπι τον θανα-

του. καλεσαντος μηδενος. Ἀλλα μεταξυ λεγαν, οὐ κραυγη τις ακουεται, ὥσπερ τινων απο γῆς βοωντων. ΕΡ. ναι ὦ Μενιππε, οὐκ ἀφ' ἑνος γεχωρου· ἀλλ' οἱ μεν ἐς την ἐκκλησιαν συνελτοντες ἀδομενοι γελῶσι παντες ἐπι τῷ Λαμπιχου θανατῳ, και ἡ γυνη αὐτοῦ συνεχεται προς τοῦ γυναικῶν, και τα παιδια νεογνα ὄντα, ὁμοιως κἀκεῖνα ὑπο τοῦ παιδων βαλλεται ἀφτονοις τοῖς λιτοις· ἀλλοι δε Διοφαντον τον ῥητορα ἐπαινοῦσιν ἐν Σικυῶνι ἐπιταφιους λογους διεξιοντα ἐπι Κρατωνι τουτῳ· και νη Δια γε, ἡ Δαμασιου μητηρ κωκυουσα ἐξαρχει τοῦ θρηνον συν γυναιξιν ἐπι τῷ Δαμασιᾳ· σε δε οὐδεις, ὦ Μενιππε, δακρυει, κατ' ἡσυχιαν δε κεῖσαι μονος. ΜΕΝ. οὐδαμῶς, ἀλλ' ἀκουσῃ των κυνῶν μετ' ὀλιγον ὠρυομενον οἰκτιστον ἐπ' ἐμοι, των κορακων τυπτομενων τοῖς πτεροῖς, ὁποτ' ἀν συνελτοντες θαπτωσι με. ΕΡ. γενναδας εἶ, ὦ Μενιππε; ἀλλ' ἐπει καταπεπλευκαμεν ἡμεῖς, ὑμεῖς μεν ἀπιτε προς το δικαστηριον, ευτεῖαν ἐκεινην προιοντες· ἐγω δε και, ὁ πορτμευς ἀλλους μετελευσομετα. ΜΕΝ. εὐπλοεῖτε. ὦ Ερμῆ; προιωμεν δε και ἡμεῖς· τι οὐν ἔτι και μελλετε; παντας δικαστῆναι δεησει· και

τας καταδικας φασιν εἶναι βαρειας, τροχους, και γυπας, και λιτους· δειχτησεται δε ὁ ἑκαστου βιος.

EX PLUTARCHO

VITA DEMOSTHENIS.

Δημοσθενης, ὁ πατηρ Δημοσθενους, ἦν μεν των καλων, και ἀγαθων ἀνδρων, ὡς ἱστορεῖ Θεοπομπος· ἐπεκαλεῖτο δε μαχαιροποιος, ἐργαστηριον ἐχων μεγα, και δουλους τεχνιτας τουτο πραττοντας· ἃ δ' Αἰσχινης. ὁ ῥητωρ. εἰρηκε περι της μητρος; ὡς ἐκ Γυλωνος τινος ἐπ' αἰτια προδοσιας φυγοντος ἐξ ἀστεος ἐγεγονει, και βαρβαρου γυναικος, οὐκ ἐχομεν εἰπεῖν, εἰτ' ἀληθως εἰρηκεν εἰτε βλασφημων και καταψευδομενος ἀπολειφθεις δ' ὁ Δημοσθενης ὑπο του πατρος ἑπταετης ἐν εὐπορια (μικρον γαρ ἀπελιπεν ἡ συμπασα τιμησις αὐτου της οὐσιας πεντεκαιδεκα ταλαντων) ὑπο των ἐπιτροπων ἠδικηθη, τα μεν νοσφισαμενων τα δ' αμεληταντων· ὡστε και των διδασκαλων αὐτου τον μισθον ἀποστερησαι· δια τε δη τουτο των ἐμμελων και προσηκοντων ελευθερῳ παιδι μαθηματων ἀπαιδευτος δοκεῖ

γενεσθαι, και δια την του σωματος α᾽σθενειαν και θρυψιν, ου προσιεμενης τοις πονοις της μητρος αυτον, ουδε προσβιαζομενων των παιδαγωγων· ἦν γαρ ἐξ ἀρχῆς κατισχνος και νοσωδης, και την λοιδορουμενην ἐπωνυμιαν, τον Βαταλον, εἰς το σωμα λεγεται σκωπτομενος ὑπο των παιδων λαβεῖν· ἦν δ᾽ ὁ Βαταλος ὡς μεν ἐνιοι φασιν, αὐλητης των κατεαγοτων· και δραματιον εἰς τουτον, κωμαδων αὐτον, Ἀντιφανης πεποιηκεν· ἐνιοι δε τινες ὡς ποιητου τρυφερα και παροινια γραφοντος του Βαταλου μεμνηνται. ὁ δ᾽ Ἀργας (και τουτο γαρ φασι τῷ Δημοσθενει γενεσθαι παρωνυμον) ἡ προς τον τροπον, ὡς θηριωδη και πικρον, ἐτεθη· τον γαρ ὀφιν ἐνιοι των ποιητων ἀργαν ὀνομαζουσιν· ἡ προς τον λογον, ὡς ἀνιῶντα τους ἀκροωμενους· και γαρ Ἀργας τοὔνομα ποιητης ἦν νομων πονηρων και ἀργαλεων· και ταυτα μεν ταυτῃ κατα Πλατωνα. Τῆς δε προς τους λογους ὁρμης ἀρχην αὐτῷ φασι τοιαυτην γενεσθαι. Καλλιστρατου, του ῥητορος ἀγωνιζεσθαι την περι Ωρωπου κρισιν ἐν τῳ δικαστηριῳ μελλοντος, ἦν προσδοκια της δικης μεγαλη, δια τε την του ῥητορος δυναμιν, ἀνθουντος τοτε μαλιστα τῇ

δοξη, και δια την πραξιν, ουσαν περιβοητον· ακουσας ουν ὁ Δημοσθενης των διδασκαλων και των παιδαγωγων συντιθεμενων τῃ δικῃ παρατυχειν, επεισε τον εαυτου παιδαγωγον δεομενος και προθυμουμενος. ὁπως αυτον αγαγοι προς την ακροασιν· ὁ δ' εχων προς τους ανοιγοντας τα δικαστηρια δημοσιους συνηθειαν, ευπορησε χωρας, εν ᾑ καθημενος ὁ παις αδηλως ακουσεται των λεγομενων ευημερησαντος δε του Καλλιστρατου, και θαυμασθεντος ὑπερφυως, εκεινου μεν εζηλωσε την δοξαν, ὁρων προπεμπομενον ὑπο των πολλων και μακαριζομενον· του δε λογου μαλλον εθαυμασε την ισχυν, παντα χειρουσθαι και τιθασσευειν πεφυκοτος· ὁθεν εασας τα λοιπα μαθηματα, και τας παιδικας διατριβας. αυτος αυτον ησκει και διεπονει ταις μελεταις, ὡς των λεγοντων εσομενος· εχρησατο δ' Ἰσαιῳ προς τον λογον ὑφηγητῃ, καιπερ Ἰσοκρατους τοτε σχολαζοντος, ειτε, ὡς τινες λεγουσι, τον ὡρισμενον μισθον Ἰσοκρατει τελεσαι μη δυναμενος, τας δεκα μνας, δια την Ορφανιαν· ειτε μαλλον του Ἰσαιου τον λογον, ὡς δραστηριον και πανουργον επι την χρειαν, αποδεχομενος. Ἑρμιππος δε φησιν αδεσποτοις ὑπομνη-

μασιν ἐντυχεῖν, ἐν οἷς ἐγέγραπτο, τον Δημοσθενη συνεσχολακεναι Πλατωνι, και πλεῖστον εἰς τους λογους ὠφελῆσθαι. Κτησιβιου δε μεμνηται λεγοντος, παρα Καλλιου τοῦ Συρακουσιου, και τινων ἀλλων τας Ἰσοκρατους τεχνας και τας Ἀλκιδαμαντος κρυφα λαβοντα τον Δημοσθενη καταμαθεῖν. Ὡς γοῦν ἐν ἡλικιᾳ γενομενος τοῖς ἐπιτροποις ἤρξατο δικαζεσθαι, και λογογραφεῖν ἐπ' αὐτους, πολλας διαδυσεις και παλινδικιας εὑρισκοντας, ἐγγυμνασαμενος, κατα τον Θουκυδιδην, ταῖς μελεταις, οὐκ ἀκινδυνως, οὐδ' αργῶς, κατευτυχησας, ἐκπρᾶξαι μεν οὐδε πολλοστον ηδυνηθη μερος τῶν πατρωων· τολμαν δε προς το λεγειν και συνηθειαν ἱκανην λαβων, και γευσαμενος τῆς περι τους ἀγῶνας φιλοτιμιας και δυναμεως, ἐπεχειρησεν εἰς μεσον παριεναι, και τα κεινα πραττειν· και καθαπερ Λαομεδοντα τον Ορχομενιον λεγουσι καχεξιαν τινα σπληνος ἀμυνομενον δρομοις μακροῖς χρῆσθαι, τῶν ἰατρῶν κελευσαντων, εἶθ' οὑτως διαπονησαντα την ἕξιν ἐπιθεσθαι τοῖς στεφανιταις ἀγῶσι, και τῶν ἀκρων γενεσθαι δολιχοδρομων· οὑτως τῷ Δημοσθενει συνεβη, το πρῶτον ἐπανορθωσεως ἑνεκα τῶν ἰδιων ἀπο-

θυντι προς το λεγειν, ἐκ δε τουτου κτησαμενῳ δεινοτητα και δυναμιν, ἐν τοῖς πολιτικοῖς ʼηδη, καθαπερ στεφανιταις, ἀγῶσι πρωτευειν τῶν ἀπο τοῦ βηματος ἀγωνιζομενων πολιτῶν· καιτοι το πρῶτον εντυγχανων τῷ δημῳ θορυβοις περιεπιπτε, και κατεγελᾶτο δἰ ἀηθειαν τοῦ λογου, συγκεχυσθαι ταῖς περιοδοις και βεβασανισθαι τοῖς ἐνθυμημασι πικρῶς ἀγαν και κατακορως δοκοῦντος· ἦν δε τις, ὡς ἐοικε, και φωνῆς ἀσθενεια, και γλωττης ἀσαφεια, και πνευματος κολοβοτης, ἐπιταραττουσα τον νοῦν τῶν λεγομενων τῷ διασπᾶσθαι τας περιοδους· τελος δ' ἀποσταντα τοῦ δημου, και ῥεμβομενον ἐν Πειραιεῖ δἰ ἀθυμιαν, Εὐνομος ὁ Θριασιος. ἠδη πανυ γερων, θεασαμενος ἐπεθιμησεν, ʼοτι τον λογον ἐχων ὁμοιοτατον τῷ Περικλεους, προδιδωσιν ὑπ' ἀτολμιας και μαλακιας ἑαυτον ουτε τους ὀχλους ὑφισταμενος εὐθαρσῶς, οὐτε το σωμα προς τους ἀγῶνας ἐξαρτυομενος, ἀλλα τρυφῇ περιορῶν μαραινομενον. Παλιν δε ποτε φασιν, ἐκπεσοντος αὐτοῦ, και ἀπιοντος ʼοικαδε συγκεκαλυμμενου και βαρεως φεροντος, ὑπακολουθῆσαι Σατυρον, τον ὑποκριτην, ἐπιτηδειον ὀντα, και συνελθεῖν· ὀδυρομενου δε τοῦ Δημο-

σθενους προς αυτον, ότι παντων φιλοπονωτατος ὼν των λεγοντων, και μικρου δεων κατανηλωκεναι την του σωματος ακμην εις τουτο, χαριν ουκ εχει προς τον δημον, αλλα κραιπαλωντες ανθρωποι ναυται, και αμαθεις ακουονται και κατεχουσι το βημα, παροραται δ' αυτος· Αληθη λεγεις ὠ Δημοσθενες, φαναι τον Σατυρον· αλλ' εγω το αιτιον ιασομαι ταχεως, αν μοι των Ευριπιδου τινα ρησεων, ἠ Σοφοκλεους, εθελησης ειπειν απο στοματος· ειποντος δε του Δημοσθενους, μεταλαβοντα τον Σατυρον, ουτω πλασαι και διεξελθειν εν ηθει πρεποντι και διαθεσει την αυτην ρησιν, ωσθ' όλως έτεραν τω Δημοσθενει φανηναι· πεισθεντα δ', όσον εκ της υποκρισεως τω λογω κοσμου και χαριτος προσεστι, μικρον ηγησασθαι και το μηδεν ειναι την ασκησιν αμελουντι της προφορας και διαθεσεως των λεγομενων· εκ τουτου καταγειον μεν οικοδομησαι μελετητηριον, ὁ δη διεσωζετο και καθ' ἡμας· ενταυθα δε παντως μεν εκαστης ἡμερας προσιοντα πλαττειν την υποκρισιν, και διαπονειν την φωνην· πολλακις δε και μηνας εξης δυο και τρεις συναπτειν, ξορουμενον της κεφαλης θατερον μερος, ὑπερ του μηδε

βουλομένῳ πανυ προελθεῖν ἐνδεχεσθαι δι' αἰσχυνην. Οὐ μην ἀλλα και τας προς τους ἐκτος ἐντευξεις και λογους και ἀσχολιας, ὑποθεσεις ἐποιεῖτο και ἀφορμας του φιλοπονεῖν· ἀπαλλαγεις γαρ αὐτων, ταχιστα κατεβαινεν εἰς το μελετητηριον, και διεξηει τας τε πραξεις ἐφεξῆς και τους ὑπερ αὐτων ἀπολογισμους, ἐτι δε τους λογους, οἷς παρετυχε λεγομενοις, ἀναλαμβανων εἰς ἑαυτον, εἰς γνωμας ἀνῆγε και περιοδους· ἐπανορθωσεις τε παντοδαπας και μεταφρασεις ἐκαινοτομει των εἰρημενων ὑφ' ἑτερων προς αὐτον, ἢ ὑφ' αὐτου παλιν προς ἀλλον, ἐκ τουτου δοξαν εἶχεν, ὡς οὐκ εὐφυης ὠν, ἀλλ' ἐκ πονου συγκειμενῃ δεινοτητι και δυναμει χρωμενος, ἐδοκει τε τουτου σημεῖον εἶναι μεγα, το μη ῥαδιως ἀκουσαι τινα Δημοσθενους ἐπι καιρου λεγοντος, ἀλλα και καθημενον ἐν ἐκκλησια πολλακις του δημου καλουντος ὀνομαστι, μη παρελθεῖν, εἰ μη τυχοι πεφροντικως και παρεσκευασμενος· εἰς τουτο ἀλλοι τε πολλοι των δημαγωγων εχλευαζον αὐτον και Πυθεας ἐπισκωπτων, ἐλλυχνίων ἐφησεν ζόειν αὐτου τα ἐνθυμηματα· τουτον μεν οὐν ἠμειψατο πικρως ὁ Δημοσθενης: Οὐ ταυτα γαρ, εἶπεν, ἐμοι και σοι, ὠ Πυθεα,

ὁ λυχνος συνοιδε· προς δε τους αλλους οὐ πανταπασιν ἠν ἐξαρνος, ἀλλ' ουτε γραψας, οὐτ' ἀγραφα κομιδῇ λεγειν ὡμολογει· και μεντοι δημοτικον ἀπεφαινεν ἀνδρα, τον λεγειν μελετῶντα· θεραπειαν γαρ εἰναι του δημου την παρασκευην· το δ', οπῶς ἐξουσιν οἱ πολλοι προς τον λογον, ἀφροντισθειν, ὀλιγαρχικου, και βιᾳ μᾶλλον, 'η πειθοῖ, προσεχοντος, τῆς δε προς καιρον ἀτολμιας αυτου και τοῦτο π[illegible]ιοῦνται σημειον ὁτι Δημαδης μεν ἐκεινῳ θορυβηθεντι πολλακις ἀναστας ἐκ προχειρου συνειπεν, ἐκεινος δ' οὐδεποτε Δημαδῃ. Ποθεν οὐν, φαιη τις αν, ὁ 'Αισχινης προς την ἐν τοῖς λογοις τολμαν θαυμασιωτατον ἀπεκαλει τον ἀνδρα; πῶς δε Πυθανι, τῳ Βυζαντιῳ, θρασυνομενῳ και ῥεοντι πολλῳ κατα τῶν 'Αθηναιων, ἀναστας μονος ἀντειπεν; ἡ Λαμαχου του Μυῤῥηναιου γεγραφοτος ἐγκωμιον 'Αλεξανδρου και φιλιππου, τῶν βασιλεων, ἐν ᾡ πολλα Θηβαιους και Ολυνθιους εἰρηκει κακῶς, και ἀναγινωσκοντος Ολυμπιασι, παραναστας, και διεξελθων μεθ' ἱστοριας και ἀποδειξεως, ὁσα Θηβαιοις και Χαλκιδεῦσιν ὑπαρχει καλα προς την 'Ελλαδα. και παλιν, οσων αἰτιοι κακῶν γεγονασιν οἱ κολακευοντες Μακεδο-

νας, οὕτως ἐπεστρεψε τους παροντας. ὥστε δεισαντα τῷ θορυβῳ τον σοφιστην ὑπεκδυναι τῆς πανηγυρεως· ἀλλ᾽ ἐοικεν ὁ ανηρ τοῦ Περικλεους τα μεν ἀλλα μη προς ἀυτον ἡγησασθαι, το δε πλασμα και των σχηματισμον ἀυτοῦ, και το μη ταχεως, μηδε περι παντος, ἐκ τοῦ παρισταμενου λεγειν, ὥσπερ ἐκ τουτων μεγαλου γεγονοτος, ζηλῶν και μιμουμενος, οὐ πανυ προιεσθαι την ἐν τῷ καιρῳ δοξαν, οὐδ᾽ ἐπι τυχη πολλακις ἐχων εἰναι ποιεῖσθαι την δυναμιν· ἐπει θολμαν γε και θαρσος οἱ λεχθεντες ὑπ᾽ ἀυτοῦ λογοι τῶν γραφεντων μᾶλλον εἶχον, εἰ τι δεῖ πιστευειν Ἐρατοσθενει, και Δημητριῳ τῷ Φαληρεῖ, και τοῖς κωμικοῖς· ἂν Ἐρατοσθενης μεν φησιν αὐτον ἐν τοῖς λογοις πολλαχοῦ γεγονεναι παραβακχον· ὁ δε Φαληρευς τον ἐμμετρον ἐκεῖνον ὁρκον ὀμοσαι ποτε προς τον δῆμον, ὥσπερ ἐνθουσιῶντα. Μα γῆν, μα κρηνας, μα ποταμους, μα ναματα, τῶν δε κωμικῶν ὁ μεν τις αὐτον ἀποκαλεῖ ῥωποπερπερηθραν· ὁ δε παρασκαπτων, ὡς χρωμενον τῷ ἀντιθετῳ, φησιν οὕτως.

Ἀπελαβεν, ὥσπερ ἐλαβεν, ἠγαπησε γαρ

Το ρημα τουτο παραλαβων Δημοσθενης

ἐκτος ἐι μη νη Δια προς τον ὑπερ Ἀλονησου λογον ὁ

Ἀνθιφανης και τουτι πεπαιχεν, ἡν Ἀθηναιοις Δημοσθενης συνεβουλευε μη λαμβανειν, ἀλλ' ἀπολαμβανειν παρα Φιλιππου. Πλην τον γε Δημαδην παντες ὡμολογουν τῃ φισει χρωμενον ἀνικητον εἶναι, και παραφερειν αὐτοσχεδιαζοντα τας του Δημοσθενους σκεψεις και παρασκευας· Ἀριστων δ', ὁ Χῖος, και Θεοφραστου τινα δοξαν ἱστορηκε περι των ῥητορων· ἐρωτηθεντα γαρ, ὁποῖος τις αὐτῷ φαινεται ῥητωρ ὁ Δημοσθενης εἰπεῖν. Ἄξιος της πολεως· ὁποῖος δε Δημαδης. ὑπερ την πολιν· ὁ δ' οὗτος φιλοσοφος Πολυευκτον ἱστορεῖ τον Σφηττιον, ἑνα των τοτε πολιτευομενων Ἀθηνησιν, ἀποφαινεσθαι. μεγιστον μεν εἶναι ῥητορα Δημοσθενη, δυνατωτατον δ' εἰπεῖν, Φωκιωνα· πλεῖστον γαρ ἐν βραχυτατῃ λεξει νοῦν ἐκφερειν· και μεντοι και τον Δημοσθενη φασιν αὐτον, ὁσακις ἀν ἀντερῶν αὐτῷ Φωκιων ἀναβαινοι, λεγειν προς τους συνηθεις· Ἡ των ἐμῶν λογων κοπις ἀνισταται· τοῦτο μεν οὖν ἀδηλον εἰτε προς τον λογον του ἀνδρος ὁ Δημοσθενης,

εἴτε πρὸς τὸν βίον καὶ τὴν δόξαν ἐπεποιθει, πολλῶν πανυ καὶ μακρῶν περιοδων ἐν ρῆμα καὶ νεῦμα πιστιν ἔχοντος ἀνθρωπου κυριωτερον ἡγουμενος. Τοῖς δε σωματικοῖς ἐλαττωμασι τοιαυτην ἐπῆγεν ἀσκησιν, ὡς ὁ Φαληρευς Δημητριος ἱστορεῖ, λεγων αὐτοῦ Δημοσθενους ακουειν πρεσβυτου γεγονοτος· · την μεν ἀσαφειαν και τραυλοτητα τῆς γλωττης ἐκβιαζεσθαι και διαρθροῦν εἰς το στομα ψηφους λαμβανοντα, και ρησεις ἁμα λεγοντα την δε φωνην ἐν τοῖς δρομοις γυμναζεσθαι και ταῖς προς τα σιμα προβασεσι, διαλεγομενον, και λογους τινας, ἢ στιχους, αμα τῷ πνευματι πυκνουμενῳ προφερομενον· εἶναι δ' αὐτῷ μεγα κατοπτρον 'οικοι, και προς τοῦτο τας μελετας ἐξ ἐναντιας ἱσταμενον περαινειν· λεγεται δ'. ανθρωπου προσελθοντος, δεομενου συνηγοριας. και διεξιοντος, ὡς ὑπο του λαβοι πληγας· Αλλα συ γε, φαναι τον Δημοσθενην. τουτων, ὧν λεγεις, οὐδεν πεπονθας ἐπιτειναντος δε την φωνην τοῦ 'Ανθρωπου. και βοῶντος· ἐγω, Δημοσθενες, οὐδεν πεπονθα; Νη Δια, φαναι, νοῦν ἀκουω φωνην αδικουμενου και πεπονθοτος, οὕτως ᾠετο μεγα προς πιστιν εἶναι τον τονον, και την

ὑποκρισιν τῶν λεγοντων· τοῖς μεν οὖν πολλοῖς ὑποκρινομενος ἤρεσκε θαυμαστῶς· οἱ δε χαριεντες ταπεινον ἡγοῦντο και ἀγεννες αὐτοῦ το πλασμα και μαλακον, ὧν και Δημητριος ὁ Φαληρευς ἐστιν. Αἰσιωνα δε φησιν Ἑρμιππος ἐρωτηθεντα περι τῶν παλαι ῥητορων, και τῶν καθ' αὐτον, εἰπεῖν, ὡς ἀκουων μεν ἄν τις ἐθαυμασεν ἐκεινους εὐκοσμως και μεγαλοπρεπῶς τῷ δημῳ διαλεγομενους· ἀναγινωσκομενοι δ' οἱ Δημοσθενους λογοι πολυ τῇ κατασκευῇ και δυναμει διαφερουσιν· οἱ μεν οὖν γεγραμμενοι τῶν λογων ὅτι το αὐστηρον πολυ και πικρον ἔχουσι, τι ἂν λεγοι τις; ἐν δε ταῖς απαντησεσι ταῖς παρα τον καιρον ἐχρῆτο και τῷ γελοιῳ. Δημαδου μεν γαρ ειποντος· εμε Δημοστενης, ἡ ὗς την Ἀθηνᾶν· Αὕτη, εἶπεν, ἡ Ἀθηνᾶ πρωην ἐν Κολλυτῷ μοιχευουσα ἐληφθη· προς δε τον κλεπτην, ὁς ἐπεκαλεῖτο Χαλκους, και αὐτον εἰς τας ἀγρυπνιας αὐτοῦ και νυκτογραφιας πειρωμενον τι λεγειν· οἶδα, εἶπεν, ὅτι σε λυπῶ λυχνον καιων, ὑμεῖς δε, ὦ ἀνδρες ἀθηναῖοι, μη θαυμαζετε τας γενομενας κλοπας, ὅταν τους μεν κλεπτας χαλκοῦς, τους δε τοιχους πηλινους ἔχωμεν. Ἀλλα περι μεν τουτων καιπερ ἔτι πλειω λεγειν ἔχοντες ἐνταῦθα

παυσομεθα, τον δ' ἀλλον αὐτου τροπον, και το ἠθος. ἀπο των πραξεων και της πολιτειας θεωρεισθαι δικαιον ἐστιν. Ὡρμησε μεν οὐν ἐπι το πραττειν τα κεινα, του Φωκικου πολεμον συνεστωτος, ὡς αὐτος τε φησι, και λαβειν ἐστιν ἀπο των Φιλιππικων δημηγοριων· ἁι μεν γαρ, ἠδη διαπεπραγμενων ἐκεινων, γεγονασιν, αἱ πρεσβυταται των ἐγγιστα πραγματων ἁπτονται· δηλος δ' ἐστι και την κατα Μειδιου παρασκευασαμενος εἰπειν δικην, δυο μεν ἐπι τοις τριακοντα γεγονως ἐτη, μηδεπω δ' ἐχων ἰσχυν ἐν τῃ πολιτειᾳ, μηδε δοξαν, ὁ και μαλιστα μοι δοκει δεισας, ἐπ' ἀργυριῳ καταθεσθαι την προς τον ἀνθρωπον ἐχθραν· οὐ γαρ τοι γλυκυθυμος ἀνηρ ἠν, οὐδ' ἀγανοφρων, ἀλλ' ἐντονος και βιαιος περι τας ἀμυνας· ὁρων δ' οὐ φαυλον, οὐδε της αὑτου δυναμεως ἐργον, ἀνδρα και πλουτῳ και λογῳ, και φιλοις εὐ πεφραγμενον καθελειν, τον Μειδιαν, ἐνεδωκε τοις ὑπερ αὐτου δεομενοις· ἁι δε τρισχιλιαι καθ' ἑαυτας οὐκ ἀν μοι δοκουσι την Δημοσθενους ἀμβλυναι πικριαν, ἐλπιζοντος και δυναμενου περιγενεσθαι· λαβων δε της πολιτειας καλην ὑποθεσιν, την προς Φιλιππον ὑπερ των Ἑλληνων δικαιολογιαν, και προς

ταυτην ἀγωνιζομενος ἀξιως, ταχυ δοξαν ἐσχε, και περιβλεπτος ὑπο των λογων ἠρθη και της παῤῥησιας· ὡστε θαυμαζεσθαι μεν ἐν τῃ Ἑλλαδι, θεραπευεσθαι δ᾽ ὑπο του μεγαλου βασιλεως, πλειστον δ᾽ αὐτου λογον εἰναι παρα τῳ Φιλιππῳ των δημαγωγουντων· ὁμολογειν δε και τους ἀπεχθανομενους, ὁτι προς ἐνδοξον αὐτοις ἀνθρωπον ὁ ἀγων ἐστι· και γαρ Αἰσχινης και Ὑπεριδης τοιαυτα ὑπερ αὐτου κατηγορουντες εἰρηκασιν. Ὁθεν οὐκ οἰδ᾽, ὁπως παρεστη Θεοπομπῳ λεγειν, αὐτον ἀβεβαιον τῳ τροπῳ γεγονεναι, και μητε πραγμασι, μητ᾽ ἀνθρωποις, πολυν χρονον τοις αὐτοις ἐπιμενειν δυναμενον· φαινεται γαρ, εἰς ἡν ἀπ᾽ ἀρχης των πραγματων μεριδα και ταξιν αὐτον ἐν τῃ πολιτειᾳ κατεστησε, ταυτην ἀχρι τελους διαφυλαξας, και οὐ μονον ἐν τῳ βιῳ μη μεταβαλλομενος· ἀλλα και τον βιον ἐν τῳ μη μεταβαλεσθαι προεμενος· οὐ γαρ, ὡς Δημαδης, ἀπολογουμενος δια την ἐν τῃ πολιτειᾳ μεταβολην, ἐλεγεν· αὐτῳ μεν αὐτον τἀναντια πολλακις εἰρηκεναι, τῃ δε πολει μηδεποτε· και Μελανωπος, ἀντιπολιτευομενος Καλλιστρατῳ, και πολλακις ὑπ᾽ αὐτου χρημασι μετατιθεμενος, εἰωθει λεγειν προς

τον δῆμον· Ὁ μεν ἀνηρ ἐχθρος, το δε τῆς πολεως νικατω συμφερον· Νικοδημος δ', ὁ Μεσσηνιος, Κασανδρῳ προστιθεμενος προτερον, εἰτ' αὖθις ὑπερ τοῦ Δημητριοῦ πολιτευομενος, οὐκ ἐφη τἀναντια λεγειν· ἀεὶ γαρ εἶναι συμφερον ἀκροᾶσθαι τῶν κρατουντων· οὑτω και περι Δημοσθενους ἐχομεν εἰπεῖν, οἷον ἐκτρεπομενου και πλαγιαζοντος, ἡ φωνην, ἡ πρᾶξιν, ἀλλ' ὡσπερ ἐφ' ἑνος και ἀμεταβλητου διαγραμματος, τῆς πολιτειας, ἑνα τονον ἐχων ἐν τοῖς πραγμασιν ἀει διετελεσε. Παναιτιος δ', ὁ φιλοσοφος, και τῶν λογων αὐτοῦ φησιν οὑτω γεγραφθαι τους πλειστους, ὡς μονου τοῦ καλοῦ δι' αὑτὸ αἱρετοῦ ὀντος, τον περι τοῦ στεφανου, τον κατ' Ἀριστοκρατους, τον ὑπερ τῶν ἀτελειῶν, τους Φιλιππικους, ἐν οἷς πᾶσιν οὐ προς το ἡδιστον, ἢ ῥᾶστον, ἢ λυσιτελεστατον, ἀγει τους πολιτας, ἀλλα πολλαχοῦ την ἀσφαλειαν, και την σωτηριαν οἰεται δεῖν ἐν δευτερᾳ ταξει τοῦ καλοῦ ποιεῖσθαι και τοῦ πρεποντος· ὡς, εἰγε τῇ περι τας ὑποθεσεις αὐτοῦ φιλοτιμιᾳ καὶ τῇ τῶν λογων εὐγενειᾳ παρῆν ἀνδρεια τε πολεμιστηριος, και το καθαρῶς ἑκαστα πραττειν, οὐκ ἐν τῷ κατα Μοιροκλεα, και Πολυευκτον, και Ὑπε-

ριδην. ἀριθμῷ τῶν ῥητορων. ἀλλ' ἀνω μετα Κιμωνος, και Θουκυδιδου, και Περικλεους, ἀξιος ἦν τιθεσθαι. Τῶν γουν μετ' αὐτον ὁ Φωκιων, οὐκ ἐπαινουμενης προισταμενος πολιτειας. ἀλλα δοκῶν μακεδονιζειν. ὁμως δι ἀνδρειαν και δικαιοσυνην οὐδεν οὐδαμοῦ χειρων ἐδοξεν Ἐφιαλτου, και Ἀριστειδου. και Κιμωνος. ἀνηρ γενεσθαι· Δεμοσθενης δ', οὐκ ὢν ἐν τοῖς ὁπλοις ἀξιοπιστος. ὡς φησιν ὁ Δημητριος, οὐδε προς το λαμβανειν παντα-πασιν ἀπωχυρωμενος, αλλα τῷ μεν παρα Φιλιππου και Μακεδονιας ἀγαλωτος, ὢν, τῷ δ' ἀνωθεν ἐκ Σουσων και Ἐκβατανων ἐπιβατος χρυσιῳ γεγονως και κατακεκλυσμενος, ἐπαινεσαι μεν ἱκανωτατος ἦν τα τῶν προγονων καλα, μιμησασθαι δ' οὐχ ὁμοιως· ἐπει τους γε καθ' αὐτον ῥητορας (ἐξω δε λογου τιθεμαι φωκιωνα) και τῷ βιῳ παρῆλθε· φαινεται δε και μετα παῤῥησιας μαλιστα τῷ δημῳ διαλεγομενος, και προς τας ἐπιθυμιας τῶν πολλῶν ἀντιτεινων, και τοῖς ἁμαρτημασιν αὐτῶν ἐπιφυομενος, ὡς ἐκ τῶν λογων λαβεῖν ἐστιν, ἱστορεῖ δε και Θεοπομπος, ὁτι, τῶν Ἀθηναιων ἐπι τινα προβαλομενων αὐτον κατηγοριαν, ὡς ουχ ὑπηκουε θορυβουντων, ἀναστας εἶπεν· Ὑμεῖς ἐμοι, ὦ

ἄνδρες Ἀθηναῖοι, συμβούλῳ μεν, κἂν μη θελητε, χρησεσθε· συκοφαντῃ δ᾽, οὐδε ἐαν θελητε· Σφοδρα δ᾽ ἀριστοκρατικον αὐτου πολιτευμα και το περι Ἀντιφωντος· ὃν ὑπο της ἐκκλησιας ἀφεθεντα συλλαβων, ἐπι την ἐξ Ἀρειου παγου βουλην παρηγαγε, και παρ᾽ οὐδεν το προσκρουσαι τῳ δημῳ θεμενος, ἠλεγξεν ὑπεσχημενον Φιλιππῳ τα νεωρια ἐμπρησειν· και παραδοθεις ὁ ἀνθρωπος ὑπο της βουλης ἀπεθανε· κατηγορησε δε και της ἱερειας Θεωριδος, ὡς ἀλλα τε ῥαδιουργουσης πολλα, και τους δουλους ἐξαπαταν διδασκουσης· και θανατου τιμησαμενος ἀπεκτεινε. Λεγεται δε και τον κατα Τιμοθεου, του στρατηγου, λογον, ᾧ χρησαμενος Ἀπολλοδωρος εἷλε τον ἀνδρα του ὀφληματος, Δημοσθενης γραψαι τῳ Ἀπολλοδωρῳ, καθαπερ και τους προς Φορμιωνα και Στεφανον, ἐφ᾽ οἷς εἰκοτως ἠδοξησε· και γαρ Φορμιων ἠγωνιζετο λογῳ Δημοσθενους προς τον Ἀπολλοδωρον, ἀτεχνως, καθαπερ ἐξ ἑνος μαχαιροπωλιου, τα κατ᾽ ἀλληλων ἐγχειριδια πωλουντος αὐτου τοις αντιδικοις· των δε δημοσιων, ὁ μεν κατ᾽ Ἀνδροτιωνος, και Τιμοκρατους, και Ἀριστοκρατους, ἑτεροις ἐγραφησαν, οὐπω τῃ πολιτειᾳ προ-

σεληλυθοτος· δοκεῖ, γαρ δυοῖν ἢ τριῶν, δεοντα ἐτη τριακοντα γεγονως ἐξενεγκεῖν τους λογους ἐκεινους· τον δε κατ' Ἀριστογειτονος αὐτος ἠγωνισατο και τον περι των ἀτελειων, δια τον Χαβριου παῖδα, Κτησιππον, ὡς φησιν αὐτος· ὡς δ' ἐνιοι λεγουσι, την μητερα του νεανισκου μνωμενος· οὐ μην ἐγημε ταυτην, ἀλλα Σαμιᾳ τινι συνῴκησεν, ὡς ἱστορεῖ Δημητριος ὁ Μαγνης ἐν τοῖς περι συνωνυμων ὁ δε κατ' Αἰσχινου της παραπρεσβειας. ἀδηλον, εἰ λεληκται, καιτοι φησιν Ἰδομενευς, παρα τριακοντα μονας τον Αἰσχινην ἀποφυγεῖν, ἀλλ' οὐκ ἐοικεν οὑτως ἐχειν ταληθες, εἰ δεῖ τοῖς περι στεφανου γεγραμμενοις ἑκατερων λογοις τεκμαιρεσθαι· μεμνηται γαρ οὐδετερος αὐτων ἐναργως, οὐδε τρανως, ἐκεινου του ἀγωνος, ὡς αχρι δικης προελθοντος· ταυτι μεν οὖν ἑτεροι διακρινοῦσι μᾶλλον. Ἡ δε του Δημοσθενους πολιτειᾳ φανερα μεν ἦν. ἐτι και της εἰρηνης ὑπαρχουσης, οὐδεν ἐῶντος ἀνεπιτιμητον των πραττομενων ὑπο του Μακεδονος, ἀλλ' ἐφ' ἑκαστῳ ταραττοντος τους Ἀθηναιους, και διακαιοντος ἐπι των ἀνθρωπον· διο και παρα Φιλιππῳ πλεῖστος ἦν λογος αὐτου. και ὁτε πρεσβευων δεκατος ἧκεν εἰς Μακεδονιαν, ἠκουσε μεν

παντων Φιλιππος. ἀντεῖπε δε μητα πλειστης ἐπιμελειας προς τον ἐκεινου λογον· οὐ μὴν ἐν γε ταῖς ἄλλαις τιμαῖς και φιλοφροσυναῖς ὁμοιον αὑτον τῷ Δημοσθενει παρεῖχεν, ἀλλα προσηγετο τους περι Αἰσχινην και Φιλοκρατην μᾶλλον· ὅθεν ἐπαινουντων ἐκεινων τον Φιλιππον, ὡς και λεγειν δυνατωτατον, και καλλιστον ὀφθῆναι, και νη Δια συμπιειν ἱκανωτατον, ἠναγκαζετο βασκαινων ἐπισκωπτειν, ὡς το μεν σοφιστοῦ, το δε γυναικος, το δε σπογγιᾶς εἴη· βασιλεως δ' οὐδεν ἐγκωμιον. Ἐπει δ' εἰς το πολεμεῖν ἐῤῥεπε τα πραγματα, τοῦ μεν Φιλιππου μη δυναμενου την ἡσυχιαν ἄγειν, τῶν δ' Ἀθηναιων ἐγειρομενων ὑπο τοῦ Δημοσθενους, πρῶτον μεν εἰς Εὔβοιαν ἐξωρμησε τους Ἀθηναιους, καταδεδουλωμενην ὑπο τῶν τυραννων Φιλιππῳ· και διαβαντες, ἐκεινον το ψηφισμα γραψαντος, ἐξηλασαν τους Μακεδονας· δευτερον δε Βυζαντιοις ἐβοηθησε και Περινθιοις ὑπο τοῦ Μακεδονος πολεμουμενοις· πεισας τον δῆμον, ἀφεντα την ἐχθραν, και το μεμνῆσθαι τῶν περι τον συμμαχικον ἡμαρτημενων ἑκατεροις πολεμον, ἀποστεῖλαι δυναμιν αὐτοῖς, ὑφ' ἧς ἐσωθησαν· ἐπειτα πρεσβευων και διαλεγομενος τοῖς Ἑλλησι,

και παροξυνων, συνεστησε, πλην ολιγων, απαντας επι τον Φιλιππον· ωστε συνταξιν γενεσθαι πεζων μεν μυριων και πεντακισχιλιων, ιππεων δε δισχιλιων, ανευ των πολιτικων δυναμεων· χρηματα δε και μισθους τοις ξενοις εισφερεσθαι προθύμως· ότε και φησι Θεοφραστος, αξιουντων των συμμαχων ορισθῆναι τας εισφορας, ειπεῖν Κρωβυλον, τον δημαγωγον, ως ου τεταγμενα σιτεῖται πολεμος· επηρμενης δε τῆς Ἑλλαδος προς το μελλον, και συνισταμενων κατ' εθνη και πολεις Εὐβοεων, Ἀχαιῶν, Κορινθιων, Μεγαρεων, Λευκαδιων, Κερκυραιων, ό μεγιστος υπελειπετο τῷ Δημοσθενει των αγωνων, Θηβαιους προσαγαγεσθαι τῇ συμμαχιᾳ, χωραν τε συνορον τῆς Ἀττικῆς και δυναμιν εναγωνιον εχοντας, και μαλιστα τοτε των Ἑλληνων εὐδοκιμοῦντας εν τοῖς οπλοις· ἦν δ' οὐ ῥαδιον επι προσφατοις εὐεργετημασι τοῖς περι των Φωκικον πολεμον τετιθασσευμενους υπο τοῦ Φιλιππου μεταστῆσαι τους Θηβαιους, και μαλιστα ταῖς δια την γειτνιασιν αψιμαχιαις αναξαινομενων εκαστοτε των πολεμικων προς αλληλας διαφορων ταῖς πολεσιν.

Οὐ μην ἀλλ' επει Φιλιππος, υπο τῆς

περι την 'Αμφισσαν ἐυτυχιας ἐπαιρομενος, ἐις την 'Ελατειάν ἐξαιφνης ἐνεπεσε, και την Φωκιδα κατεσχεν. ἐκπεπληγμενων των 'Αθηναιων, καὶ μηδενος τολμῶντος ἀναβαινειν ἐπι το βῆμα, μηδ' ἐχοντος, ὁ τι χρη λεγειν, ἀποριας οὐσης εν μεσῳ, καί σιωπῆς, παρελθων μονος ὁ Δημοσθενης, συνεβουλευε των Θηβαιων ἐχεσθαι· και τάλλα παραθάῤῥυνας και μετεωρισας, ὡσπερ ἐιωθει, τον δῆμον ταῖς ἐλπισιν, ἀπεσταλη πρεσβευτης μεθ' ἑτερων ἐις Θηβας· ἐπεμψε δε και Φιλιππος. ὡς Μαρσυας φησιν, 'Αμυνταν μεν και Κλεαρχον, Μακεδονας, Δαοχον δε και Θρασυδαῖον Θεσσαλους, ἀντερουντας το μεν οὐν συμφερον οὐ διεφυγε τους των Θηβαίων λογισμους, ἀλλ' ἐν ὀμμασιν ἑκαστος εἶχε τα του πολεμου δεινα. ἐτι των Φωκικῶν τραυματων νεαρῶν παραμενοντων· ἡ δε του ῥητορος δυναμις, ὡς φησι Θεοπομπος, ἐκριπιζουσα τον θυμον αὐτῶν, και διακαιουσα την φιλοτιμιαν, ἐπεσκοτησε τοῖς ἀλλοις ἁπασιν· ὡς εἰς φοβον και λογισμον και χαριν ἐκβαλεῖν αὐτους ἐνθουσιῶντας ὑπο του λογου προς το καλον· οὑτω δε μεγα και λαμπρον εφανη το του ῥητορος ἐργον, ὡστε τον μεν Φιλιππον ἐυθυς ἐπικηρυκευεσθαι, δεομενον εἰρηνης, ορ-

θην δε την Ἑλλαδα γενεσθαι, και συνεξαναστῆναι προς το μελλον ὑπηρετεῖν δε μη μονον τους στρατηγους τῷ Δημοσθενει ποιοῦντας το προσταττομενον, ἀλλα και τους Βοιωταρχας· διοικεῖσθαι δε τας εκκλησιας ἁπασας, οὐδεν ἧττον ὑπ' ἐκεινου τοτε τας Θηβαιων, ἢ τας Ἀθηναιων, ἀγαπωμενου παρ' ἀμφοτεροις και δυναστευοντος, οὐκ ἀδικως· οὐδε παρ ἀξιαν, ὥσπερ ἀποφαινεται Θεοπομπος, ἀλλα και πανυ προσηκοντως. Τυχη δε τις, ὡς ἐοικε, δαιμονιος ἐν περιφορᾷ πραγματων, εἰς ἐκεῖνο καιροῦ συμπεραινουσα την ἐλευθεριαν τῆς Ἑλλαδος, ἐναντιοῦσθαι τοῖς πραττομενοις, και πολλα σημεῖα τοῦ μελλοντος ἀναφαινειν, ἐν οἷς ἡ τε Πυθια δεινα προυφαινε μαντευματα, και χρησμος ᾔδετο παλαιος ἐκ των Σιβυλλειων·

Τῆς ἐπι Θερμωδοντι μαχης ἀπανευθε γενοιμην,

Αἰετος εν νεφεεσσι και ἠερι θηησασθαι·
Κλαιει ὁ νικηθεις, ὁ δε νικησας ἀπολωλε.

τον δε Θερμωδοντα φασιν εἶναι παρ' ἡμῖν ἐν Χαιρωνειᾳ ποταμιον μικρον εἰς τον Κηφισον ἐμβαλλον· ἡμεῖς δε νῦν μεν οὐδεν ἴσμεν οὕτω τῶν ῥευματων ὀνομαζομενον, εἰκαζομεν δε, τον καλουμενον Αἱμονα

Θερμώδοντα λέγεσθαι τοτε, και παραβρεῖ παρα τὸ Ἡρακλειον, ὁπου κατεστρατοπεδευον οἱ Ἑλληνες· και τεκμαιρομεθα, τῆς μαχης γενομενης, αἱματος ἐμπλησθεντα και νεκρῶν τον ποταμον, ταυτηι διαλλαξαι την προσηγοριαν· ὁ δε Δοῦρις οὐ ποταμον εἶναι φησι τον Θερμωδοντα, ἀλλ' ἱσταντας τινας σκηνην και περιορυττοντας, ἀνδριαντισκον εὑρεῖν λιθινον ὑπο γραμματων τινῶν διασημαινομενον, ὡς ειη Θερμωδων, εν ταῖς αγκαλαις Ἀμαζονα φερων τετρωμενην, ἐπὶ τουτῳ χρησμον ἀλλον ἀδεσθαι, λεγοντα.

Την ἐπι Θερμωδοντι μαχην μενε, παμμελαν ὀρνι,

Τηνεί τοι κρεα πολλα παρεσσεται ανθρωπεια:

Ταῦτα μεν οὖν ὁπως ἐχει, διαιτῆσαι χαλεπον· ὁ δε Δημοσθενης λεγεται τοῖς τῶν Ἑλληνων ὁπλοις εκτεθαῤῥηκως, καὶ λαμπρῶς ὑπο ῥωμης και προθυμιας ἀνδρῶν, τοσουτων προκαλουμενων τους πολεμιους αἱρομενος, ουτε χρησμοῖς ἐᾶν προσεχειν, ουτε μαντειας ἀκουειν· ἀλλα και την Πυθιαν ὑπονοεῖν ὡς φιλιππιζουσαν ἀναμιμνησκων Ἐπαμινώνδου τους Θηβαιους, και Περικλεους τους Ἀθηναιους, ὡς ἐκεῖνοι τα τοιαῦτα δειλιας ἡγουμενοι προφα-

σεις, ἐχρῶντο τοῖς λογισμοῖς· μεχρι μεν οὖν τουτων ἀνηρ ἦν ἀγαθος· ἐν δε τῇ μαχῃ καλον οὐδεν, οὐδ' ὁμολογουμενον ἐργον, οἷς εἶπεν, ἀποδειξαμενος, ᾠχετο την ταξιν ἀποδρας αἰσχιστα, και τα ὁπλα ῥιψας, οὐδε την ἐπιγραφην της ἀσπιδος, ὡς ελεγε Πυθεας, αἰσχυνθεις, επιγεγραμμενης γραμμασι χρυσοῖς· Ἀγαθῇ τυχῃ· παραυτικα μεν οὖν ὁ φιλιππος ἐπι τῇ νικῃ δια την χαραν ἐξυβρισας, και κωμασας ἐπι τους νεκρους, μεθυων ᾖδε την ἀρχην τοῦ Δημοσθενους ψηφισματος, προς ποδα διαιρων καὶ ὑποκρουων.

Δημοσθενης Δεμοσθενους Παιανιευς ταδ' εἶπεν.

ἐκνηψας δε, και το μεγεθος τοῦ περισταντος αὐτον ἀγωνος ἐν νῷ λαβων, ἐφριττε την δεινοτητα και την δυναμιν τοῦ ῥητορος, ἐν μηρει μικρῷ μιᾶς ἡμερας τον ὑπερ της ἡγεμονιας και τοῦ σωματος ἀναῤῥιψαι κινδυνον ἀναγκασθεις ὑπ' ἀυτοῦ· διῖκτο δ' ἡ δοξα μεχρι τοῦ Περσῶν βασιλεως· κἀκεῖνος ἐπεμψε τοῖς σατραπαις χρηματα, Δημοσθενει διδοναι κελευων και προσεχειν ἐκεινῳ μαλιστα τῶν Ελληνων, ὡς περισπασαι δυναμενῳ και κατασχεῖν ταῖς Ἑλληνικαῖς ταραχαῖς τον

Μακεδονα· ταυτα μεν ουν υστερον εφωρασεν Ἀλεξανδρος, εν Σαρδεσιν επιστολας τινας ανευρων του Δημοσθενους, και γραμματα των βασιλεως στρατηγων, δηλουντα το πληθος των δοθεντων αυτῳ χρηματων. Τοτε δε της ατυχιας τοις Ἑλλησι γενομενης, οι μεν αντιπολιτευομενοι ρητορες, επεμβαινοντες τῳ Δημοσθενει, κατεσκευαζον ευθυνας και γραφας επ' αυτον· ο δε δημος ου μονον τουτων απελυεν, αλλα και τιμων διετελει, και προσκαλουμενος αυθις, ως ευνουν, εις την πολιτειαν, ωστε και των οστεων εκ Χαιρωνειας κομισθεντων, και θαπτομενων, τον επι τοις ανδρασιν επαινον ειπειν απεδωκεν, ου ταπεινως, ουδ' αγεννως, φερων το συμβεβηκως, ως γραφει και τραγῳδει Θεοπομπος, αλλα τῳ τιμαν, μαλιστα και κοσμειν τον συμβουλον αποδεικνυμενος το μη μεταμελεσθαι τοις βεβουλευμενοις· τον μεν ουν λογον ειπεν ο Δημοσθενης. τοις δε ψηφισμασιν ουχ εαυτον, αλλ' εν μερει των φιλων εκαστον επεγραφεν, εξοιωνιζομενος τον ιδιον δαιμονα και την τυχην, εως αυθις ανεθαρρησε, Φιλιππου τελευτησαντος· ετελευτησε δε τη περι Χαιρωνειαν ευτυχιᾳ χρονον ου πολυν επιβιωσας· και του-

το δοκεῖ τῷ τελευταίῳ τῶν ἐπῶν ὁ χρησμος ἀποθεσπίσαι·

Κλαίει ὁ νικηθεὶς, ὁ δε νικησας ἀπολωλεν·

Ἐγνω μεν οὖν κρυφα την τοῦ Φιλιππου τελευτην ὁ Δημοσθενης προκαταλαμβανων δε το θαῤῥεῖν ἐπι τα μελλοντα τους Ἀθηναιους, προῆλθε φαιδρος εἰς την βουλην, ὡς ὀναρ ἑωρακως, ἀφ' οὗ τι μεγα προσδοκᾶν Ἀθηναιοις ἀγαθον· και μετ' οὐ πολυ παρῆσαν οἱ τον Φιλιππου θανατον ἀπαγγελλοντες· εὐθυς οὖν ἐθυον εὐαγγελια στεφανοῦν ἐψηφισαντο Παυσανιαν· και προῆλθεν ὁ Δημοσθενης ἐχων λαμπρον ἱματιον ἐστεφανωμενος, ἑβδομην ἡμεραν τῆς θυγατρος αὐτοῦ τεθνηκυιας, ὡς Αἰσχινης φησι, λοιδορῶν ἐπι τουτῳ, και κατηγορῶν αὐτοῦ μισοτεκνιαν, αὐτος ὢν ἀγεννης και μαλακος, εἰ τα πενθη και τους ὀδυρμους ἡμερου και φιλοστοργου ψυχῆς ἐποιεῖτο σημεῖα, το δ' ἀλυπως φερειν ταῦτα και πρᾴως ἀπεδοκιμαζε· ἐγω δ', ὡς μεν ἐπι θανατῳ βασιλεως ἡμερως οὑτω και φιλανθρωπως ἐν οἷς ηὐτυχησε χρησαμενου πταισασιν αὐτοῖς, στεφανηφορεῖν καλῶς εἶχε και θυειν, οὐκ ἂν εἰποιμι· προς γαρ τῷ νεμεσητῷ και ἀγεννες, ζῶντα μεν τιμᾶν και

ποιεῖσθαι πολιτην, πεσοντος δ' ὑφ' ἑτερου, μη φερειν την χαραν μετριως. ἀλλ' ἐπισκιρτᾶν τῷ νεκρῷ και παιωνιζειν, ὥσπερ αὐτους ἀνδραγαθησαντας· ὅτι μεντοι τας οἰκοι τυχας και δακρυα, και ὀδυρμους ἀπολιπων ταῖς γυναιξιν ὁ Δημοσθενης, ἃ τῇ πολει συμφερειν ᾤετο, ταῦτ' ἐπραττεν; ἐπαινῶ, και τιθεμαι πολιτικῆς και ἀνδρωδους ψυχῆς, ἀει προς το κοινον ἱσταμενον. και τα οἰκεῖα παθη και πραγματα τοῖς δημοσιοις ἐπανεχοντα, τηρεῖν το ἀξιωμα πολυ μᾶλλον, ἢ τους ὑποκριτας των βασιλικων και τυραννικων προσωπων· ους ὁρῶμεν οὔτε κλαιοντας, οὔτε γελῶντας, ἐν τοῖς θεατροις, ὡς αὐτοι θελουσιν. ἀλλ' ὡς ὁ ἀγων ἀπαιτεῖ προς την ὑποθεσιν· χωρις δε τουτων, ει δεῖ τον ἀτυχησαντα μη περιορᾶν ἀπαρηγορητον ἐν τῷ παθει κειμενον, ἀλλα και λογοις χρῆσθαι κουφιζουσι. και προς ἡδιω πραγματα τρεπειν την διανοιαν, ὥσπερ οἱ τους ὀφθαλμιῶντας ἀπο των λαμπρων και ἀντιτυπων επι τα χλωρα και μαλακα χρωματα την ὀψιν ἀπαγειν κελευοντες· ποθεν ἀν τις ἐπαγαγοιτο βελτιω παρηγοριαν, ἢ πατριδος εὐτυχουσης ἐκ των κοινων παθων ἐπι τα οἰκεῖα συγκρασιν ποριζομενος, τοῖς βελτιοσιν ἀφανιζου-

σαν τα χειρω; ταῦτα μεν οὖν εἰπεῖν προηχθημεν, ὁρῶντες ἐπικλῶντα πολλους και ἀποθηλυνοντα τον Αἰσχινην τῷ λογῳ τουτῳ προς οἶκτον· Αἱ δε πολεις, παλιν του Δημοσθενους ἀναῤῥιπιζοντος αὐτας, συνισταντο· και Θηβαῖοι μεν ἐπεθεντο τῇ φρουρᾷ, και πολλους ἀνεῖλον, ὁπλα του Δημοσθενους αὐτοῖς παρασκευασαντος· Ἀθηναῖοι δ' ὡς πολεμησοντες μετ' αὐτῶν παρεσκευαζοντο· και το βῆμα κατεῖχεν ὁ Δημοσθενης. και προς τους ἐν Ἀσιᾳ στρατηγους του βασιλεως ἐγραφε, τον ἐκεῖθεν ἐπεγειρων πολεμον Ἀλεξανδρῳ. παῖδα και Μαργιτην ἀποκαλῶν αὐτον· ἐπει μεντοι τα περι την χωραν θεμενος, παρῆν αὐτος μετα τῆς δυναμεως εἰς την Βοιωτιαν, ἐξεκεκοπτο μεν ἡ θρασυτης τῶν Ἀθηναιων, και ὁ Δημοσθενης ἀπεσβηκει· Θηβαῖοι δε, προδοθεντες ἐπ' εκεινων, ἠγωνισαντο καθ' αὑτους, και την πολιν ἀπεβαλον· θορυβου δε μεγαλου τους Ἀθηναιους περιεστῶτος, ἀπεσταλη μεν ὁ Δημοσθενης, αἱρεθεις μεθ' ἑτερων πρεσβευτης προς Ἀλεξανδρον, δεισας δε την ὀργην ἐκ του Κιθαιρῶνος ἀνεχωρησεν ὀπισω, και την πρεσβειαν ἀφῆκεν· εὐθυς δ' ὁ Ἀλεξανδρος ἐξῃτει πεμπων τῶν δημαγωγῶν δεκα μεν,

ὡς Ἰδομενευς και Δουρις εἰρηκασιν· ὀκτω δ᾽, ὡς οἱ πλεῖστοι και δοκιμωτατοι των συγγραφεων, τουσδε, Δημοσθενη, Πολυευκτον, Ἐφιαλτην. Λυκουργον, Μοιροκλεα, Δαμωνα, Καλλισθενη, Χαριδημον· ὁτε και τον περι των προβατων λογον ὁ Δημοσθενης, ὡς τοις λυκοις τους κυνας ἐξεδωκε, διηγησαμενος, αὑτον μεν εἰκασε και τους συν αυτῳ κυσιν ὑπερ του δημου μαχομενοις, Ἀλεξανδρον δε, τον Μακεδονα, μονολυκον προσηγορευσεν· ἐτι δ᾽ ὡς, ἐφη, τους ἐμπορους ὁρωμεν, ὁταν ἐν τρυβλιῳ δειγμα περιφερωσι, δι᾽ ὀλιγων πυρων τους πολλους πιπρασκοντας. ὀντως ἐν ἡμιν λανθανετε παντας αὑτους συνεκδιδοντες. Ταυτα μεν οὐν Ἀριστοβουλος, ὁ Κασανδρευς, ἱστορηκε· βουλευομενων δε των Ἀθηναιων και διαπορουντων, ὁ Δημαδης λαβων πεντε ταλαντα παρα των ἀνδρων, ὡμολογησε πρεσβευσειν και δεησεσθαι του βασιλεως ὑπερ αὐτων· εἰτε τῃ φιλιᾳ πιστευων, εἰτε προσδοκων μεστον εὑρησειν, ὡσπερ λεοντα, φονου κεκορεσμενον· ἐπεισε δ᾽οὐν και παρητησατο τους ἀνδρας ὁ Δημαδης, και διηλλαξεν αὐτῳ την πολιν· Ἀπελθοντος δ᾽ Ἀλεξανδρου, μεγαλοι μεν ἠσαν οὐτοι, ταπεινα δ᾽ ἐπραττεν ὁ Δημοσθενης· κινουμενῳ δ᾽ Ἀγιδι

τῷ Σπαρτιατῃ βραχεα συνεκινηθη παλιν, εἶτ' ἐπτηξε, τῶν μεν Ἀθηναιων οὐ συνεξαναστανταν, τοῦ δ' Ἀγιδος πεσοντος, και τῶν Λακεδαιμονιων συντριβενταν· εἰσηχθη δε τότε και ἡ περι τοῦ στεφανου γραφη κατα Κτησιφῶντος, γραφεῖσα μεν ἐπι Χαιρανδου ἀρχοντος, μικρον ἐπανω τῶν Χαιρωνικῶν. κριθεῖσα δ' ὑστερον ἐτεσι δεκα ἐπ' Ἀριστοφῶντος, γενομενη δε, ὡς οὐδεμια τῶν δημοσιων, περιβοητος, δια τε την δοξαν τῶν λεγοντων, και την τῶν δικαζοντων εὐγενειαν· οἱ τοῖς ἐλαυνουσι τον Δημοσθενη, τοτε πλεῖστον δυναμενοις και μακεδονιζουσιν, οὐ προηκαντο την κατ' αὐτοῦ ψῆφον, ἀλλ' οὑτω λαμπρῶς ἀπελυσαν, ὡστε το πεμπτον μερος τῶν ψηφων Αἰσχινην μη μεταλαβεῖν· ἐκεῖνος μεν οὖν εὐθυς ἐκ τῆς πολεως ᾤχετ' ἀπιων, και περι Ῥοδον και Ἰωνιαν σοφιστευων κατεβιωσε. Μετ' οὐ πολυ δ' Ἁρπαλος ἧκεν ἐξ Ἀσιας εἰς τας Ἀθηνας, ἀποδρας Ἀλεξανδρον, αὑτῷ τε τα πραγματα συνειδως πονηρα δι' ἀσωτιαν, κἀκεῖνον ἠδη χαλεπον ὀντα τοῖς φιλοις δεδοικως· καταφυγοντος δε προς τον δῆμον αὐτοῦ. και μετα τῶν χρηματων, και τῶν νεῶν αὑτον παραδιδοντος, οἱ μεν ἀλλοι ῥητορες εὐθυς εποφθαλμια-

σαντες προς τον πλουτον, ἐβοηθουν, και συνεπειθον τους Ἀθηναιους δεχεσθαι και σαζειν τον ἱκετην· ὁ δε Δημοσθενης πρωτον μεν ἀπελαυνειν συνεβουλευε τον Ἀρπαλον, και φυλαττεσθαι μη την πολιν ἐμβαλωσιν εἰς πολεμον ἐξ οὐκ ἀναγκαιας και ἀδικου προφασεως· ημεραις δ' ὀλιγαις ὕστερον ἐξεταζομενων των χρηματων. ἰδων αὐτον ὁ Ἀρπαλος ἡσθεντα βασιλικῃ κυλικι, και καταμανθανοντα την τορειαν και το εἶδος, ἐκελευε διαβαστασαντα, την ὁλκην του χρυσιου σκεψασθαι· θαυμασαντος δε του Δημοσθενους το βαρος, και πυθομενου, ποσον ἀγει, μειδιασας ὁ Ἀρπαλος· Ἀξει σοι, φησιν, εἰκοσι ταλαντα· και γενομενης ταχιστα της νυκτος, ἐπεμψεν αὐτῳ την κυλικα μετα των εἰκοσι ταλαντων· ἦν δ' ἀρα δεινος ὁ Ἀρπαλος ἐρωτικου προς χρυσιον ἀνδρος ὀψεως διαχυσει και βολαις ὀμματων ἀνευρειν ἦθος· οὐ γαρ ἀντεσχεν ὁ Δημοσθενης, ἀλλα πληγεις ὑπο της δωροδοκιας, ὥσπερ παραδεδεγμενος φρουραν, προσκεχωρηκει τῳ Ἀρπαλῳ, και μεθ' ημεραν εὖ και καλως ἐριοις και ταινιαις κατα του τραχηλου καθελιξαμενος, εἰς την ἐκκλησιαν προηλθε· και κελευοντων ἀνιστασθαι και λεγειν, διενευεν, ὡς

ἀποκεκομμένης αὐτῷ τῆς φωνῆς· οἱ δ' εὐφυεῖς χλευάζοντες, οὐχ ὑπο συναγχης ἔφραζον, ἀλλ' ὑπ' ἀργυραγχης εἰλῆφθαι νυκτωρ τον δημαγωγον· ὕστερον δε του δημου παντος αἰσθομενου την δωροδοκιαν, και βουλομενον ἀπολογεῖσθαι και πειθειν οὐκ ἐῶντος, ἀλλα χαλεπαινοντος και θορυβοῦντος, ἀναστας τις ἔσκωψεν, εἰπων· Οὐκ ἀκουσεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ την κυλικα ἐχοντος; Τοτε μεν οὖν ἀπεπεμψαν ἐκ τῆς πολεως τον Ἁρπαλον· δεδιοτες δε, μη λογον ἀπαιτῶνται χρηματων ὧν διηρπακεσαν οἱ ῥητορες, ζητησιν ἐποιοῦντο νεανικην, και τας οἰκιας ἐπιοντες ἠρευνων, πλην τῆς Καλλικλεους τοῦ Ἀῤῥενιδου· μονην γαρ την τουτου νεωστι γεγαμηκοτος οὐκ εἴασαν ἐλεγχθῆναι, νυμφης ἔνδον οὔσης, ὡς ἱστορεῖ Θεοπομπος. Ὁ δε Δημοσθενης ὁμοσε χωρῶν, εἰσηνεγκε ψηφισμα, την ἐξ Ἀρειουπαγου βουλην ἐξετασαι το πρᾶγμα, και τους ἐκεινη δοξαντας ἀδικεῖν δοῦναι δικην, ἐν δε πρωτοις αὐτου τῆς βουλῆς ἐκεινου καταψηφισαμενης, εἰσῆλθε μεν εἰς το δικαστηριον, ὀφλων δε πεντηκοντα ταλαντων δικην, και παραδοθεις εἰς το δεσμωτηριον, αἰσχυνη τῆς αἰτιας, φησι, και δ' ἀσθενειαν του σωμα-

τος, οὐ δυναμενου φερειν τον ἑιργμον, ἀποδρᾶναι, τους μεν λαθοντα, τῶν δε λαθεῖν ἐξουσιαν δοντῶν· λεγεται γοῦν, ὡς οὐ μακραν του ἀστεος φευγων, αἰσθοιτο τινας τῶν διαφορων αὐτῷ πολιτῶν ἐπιδιωκοντας. και βουλοιτο μεν αὐτον ἀποκρυπτειν· ὡς δ' εκεῖνοι φθεγξαμενοι τοὔνομα, και προσελθοντες ἐγγυς, ἐδεοντο λαβεῖν ἐφοδια παρ' αὐτῶν, επ' αὐτο τοῦτο κομιζοντες ἀργυριον οἰκοθεν, και τουτου χαριν ἐπιδιαξαντες αὐτῷ, ἁμα δε θαῤῥεῖν παρεκαλουν, και μη φερειν ἀνιαρῶς τό συμβεβηκος, ἐτι μᾶλλον ἀνακλαυσασθαι τον Δημοσθενη, και εἰπεῖν· Πῶς δ' οὐ μελλω φερειν βαρεως, ἀπολιπων πολιν εχθρους τοιουτους ἐχουσαν, οἱους ἐν ἑτερᾳ φιλους ευρεῖν οὐ ῥαδιον ἐστιν; Ἠνεγκε δε την φυγην μαλακῶς, ἐν Αἰγινη και Τροιζῆνι καθεζομενος τα πολλα, και προς την Ἀττικην ἀποβλεπων δεδακρυμενος, ὡστε φωνας οὐκ ἐυγνωμονας, οὐδ' ὁμολογουσας τοῖς ἐν τῇ πολιτειᾳ νεανιευμασιν, ἀπομνημονευεσθαι· λεγεται γαρ ἐκ του ἀστεος ἀπαλλαττομενος, και προς την ἀκροπολιν ἀνατεινας τας χεῖρας εἰπεῖν· Ὦ δεσποινα πολιας, τι δη τρισι τοῖς χαλεπωτατοις χαιρεις θηριοις, γλαυκι, και δρακοντι, και δημῳ, τους δε

προσιοντας αὐτῷ και συνδιατριβοντας νεανισκους ἀπετρεπε τῆς πολιτειας, λεγων, ὡς, ἐι. δυοῖν προκειμενων ὁδῶν απ᾽ αρχῆς, τῆς μεν ἐπι το βῆμα και την ἐκκλησιαν, τῆς δ᾽ἀντικρυς εις τον ὀλεθρον, ἐτυγχανε δε προειδως τα κατα την πολιτειαν κακα, φοβους, και φθονους, και διαβολας, και ἀγῶνας, ἐπι ταυτην ἀν ὁρμῆσαι την ευθυ του θανατου τεινουσαν. Ἀλλα γαρ, ἐτι φευγοντος αὐτοῦ την ἐιρημενην φυγην, Ἀλεξανδρος μεν ἐτελευτησε, τα δ᾽Ἑλληνικα συνισταντο παλιν, Λεωσθενους ἀνδραγαθοῦντος, και περιτειχιζοντος Ἀντιπατρον ἐν Λαμιᾳ πολιορκουμενον. Πυθεας μεν οὖν, ὁ ῥητωρ, και Καλλιμεδων ὁ Καραβος, ἐξ Ἀθηνῶν φευγοντες, Ἀντιπατρῳ προσεγενοντο, και μετα τῶν ἐκεινου φιλων και πρεσβεων περιιοντες οὐκ εἰων ἀφιστασθαι τους Ἑλληνους, οὐδε προσεχειν τοῖς Ἀθηναιοις· Δημοσθενης δε, τοῖς ἐξ αστεος πρεσβευουσι προσμιξας ἑαυτον, ἠγωνιζετο και συνεπραττεν, ὁπως αἱ πολεις συνεπιθησονται τοῖς Μακεδοσι, και συνεκβαλοῦσιν ἀυτους τῆς Ἑλλαδος· ἐν δ᾽ Ἀρκαδιᾳ και λοιδοριαν του Πυθέου καὶ του Δημοσθένους γενεσθαι προς ἀλληλους ἐιρηκεν ὁ Φυλαρχος, ἐν ἐκκλησιᾳ του μεν

ὑπερ τῶν Μακεδονων, του δ' ὑπερ των Ἑλληνων λεγοντος· λεγεται δε, τον μεν Πυθεαν ἐιπεῖν, ὅτι. καθαπερ δικιαν, ἐις ἣν ὀνειον ἐισφερεται γαλα κακον τι παντως ἐχειν νομιζομεν, οὑτω και πολιν ἀναγκη νοσεῖν, εἰς ἣν Ἀθηναιων πρεσβεια παραγινεται· τον δε Δημοσθενη στρεψαι το παραδειγμα, φησαντα, και το γαλα το ὀνειον ἐφ ὑγεια, και τους Ἀθηναιους παραγινεσθαι ἐπι σωτηρια τῶν νοσουντων ἐφ' οἷς ἡσθεις ὁ τῶν Ἀθηναιων δῆμος, ψηφιζεται τῷ Δημοσθενει καθοδον· το μεν οὖν ψηφισμα Δημων, ὁ Παιανιευς, ἀνεψιος ὢν Δημοσθενους ἐισηνεγκεν· ἐπεμφθη δε τριηρης, επ' αὐτον εἰς Αἰγιναν· Ἐκ δε Πειραιῶς ἀνεβαινεν, οὐτ ἀρχοντος, οὔτε ἱερεως, ἀπολειφθεντος. ἀλλα και τῶν ἀλλων πολιτῶν ὁμοῦ παντων ἀπαντωντων και δεχομενων προθυμως· ὅτε και φησιν αὐτον ὁ Μαγνης Δημητριος ἀνατειναντα τας χεῖρας Μακαρισαι τῆς ἡμερας ἐκεινης αὐτον. ὡς βελτιον Ἀλκιβιαδου κατιοντα· πεπεισμενους γαρ, οὐ βεβιασμενους, υπ' αὐτου δεχεσθαι τους πολιτας· τῆς δε χρηματικῆς ζημιας αὐτῷ μενουσης (οὐ γαρ ἐξῆν χαριτι λῦσαι καταδικην) ἐσοφιζοντο προς τον νομον· εἰωθοτες γαρ ἐν τῇ θυσιᾳ του Διος

του σωτῆρος ἀργυριον τελεῖν τοῖς κατασκευαζουσι και κοσμοῦσι τον βωμον, ἐκεινῳ τοτε ταῦτα ποιῆσαι και παρασχεῖν πεντηκοντα ταλαντων ἐξεδωκαν, ὁπερ ἦν τιμημα τῆς καταδικης. Οὐ μην ἐπι πολυν χρονον ἀπελαυσε τῆς πατριδος κατελθων, ἀλλα ταχυ των Ἑλληνικῶν πραγματων συντριβεντων, Μεταγειτνιῶνος μεν ἡ περι Κρανῶνα μαχη συνεπεσε, Βοηδρομιῶνος δε παρῆλθεν εἰς Μουνυχιαν ἡ φρουρα, Πυανεψιῶνος δε Δημοσθενης ἀπεθανε τονδε τον τροπον· ὡς Ἀντιπατρος και Κρατερος ἠγγελλοντο προσιοντες ἐπι τας Ἀθηνας, οἱ μεν περι τον Δημοσθενη φθασαντες, ὑπεξῆλθον ἐκ τῆς πολεως, ὁ δε δῆμος αὐτων θανατον κατεγνω, Δημαδου γραψαντος· ἀλλων δ' ἀλλαχοῦ διασπαρεντων, ὁ Ἀντιπατρος περιεπεμπε τους συλλαβανοντας, ὧν ηγεμων ἦν Ἀρχιας, ὁ κληθεις φυγαδοθηρας· τοῦτον δε, Θουριον ὀντα τῷ γενει, λογος ἐχει τραγῳδιας ὑποκρινασθαι ποτε, και τον Αἰγινητην Πῶλον, τον ὑπερβαλλοντα τῇ τεχνῃ παντας, ἐκεινου γεγονεναι μαθητην ἱστοροῦσιν. Ἑρμιππος, δε τον Ἀρχιαν ἐν τοῖς Λακριτου τοῦ ῥητορος μαθητην ἀναγραφει. Δημητριος δε τῆς Ἀναξιμενους διατριβῆς μετεσχηκεναι φησιν αὐτον· οὐ-

τος οὖν ὁ Ἀρχιας, Ὑπεριδην μεν, τον ῥητορα, και Ἀριστονικον, τον Μαραθωνιον, και τον Δημητριου, του Φαληρεως, ἀδελφον, Ἱμεραιων, ἐν Αἰγινη καταφυγοντας ἐπι το Αἰακειον, ἀποσπασας, ἐπεμψεν εἰς Κλεωνας προς Ἀντιπατρον· κἀκει διεφθαρησαν. Ὑπεριδου δε και την γλωτταν εκτμηθηναι λεγουσι. Τον δε Δημοσθενη πυθομενος ἱκετην ἐν Καλαβρια ἐν τῳ ἱερῳ Ποσειδωνος καθεζεσθαι, διαπλευσας ὑπηρετικοις, και ἀποβας μετα Θρακων δορυφορων, ἐπειθεν ἀνασταντα βαδιζειν μετ' αὐτου προς Ἀντιπατρον, ὡς δυσχερες πεισομενον οὐδεν· ὁ δε Δημοσθενης ἐτυγχανεν ὀψιν ἑωρακως κατα τους ὑπνους ἐκεινης της νυκτος ἀλλοκοτον· ἐδοκει γαρ ἀνταγωνιζεσθαι τῳ Ἀρχιᾳ τραγῳδιαν ὑποκρινομενος· εὐημερων δε και κατεχων το θεατρον, ἐνδειᾳ παρασκευης και χορηγιας κρατεισθαι· διο του Ἀρχιου πολλα φιλανθρωπα διαλεχθεντος, ἀναβλεψας προς αὐτον, ὡσπερ ἐτυγχανε καθημενος· Ὦ Ἀρχια, εἰπεν, οὐτε ὑποκρινομενος με ἐπεισας πωποτε, οὐτε νυν πεισεις ἐπαγγελλομενος· ἀρξαμενου δ' ἀπειλειν του Ἀρχιου μετ' ὀργης· Νυν, ἐφη, λεγεις τα ἐκ του Μακεδονικου τριποδος, ἀρτι δ' ὑπεκρινου· μικρον

οὖν ἐπισχες. ὅπως ἐπιστειλω τι τοῖς οἰκοι· και ταῦτ᾽ εἰπων, ἐντος ἀνεχωρησε του ναοῦ· και λαβων βιβλιον, ὡς γραφειν μελλων, προσηνεγκε τῷ στοματι τον καλαμον, και δακων, ὥσπερ ἐν τῷ διανοεῖσθαι και γραφειν εἰωθει, χρονον τινα κατεσχεν, εἶτα συγκαλυψαμενος ἀπεκλινε την κεφαλην· οἱ μεν οὖν παρα τας θυρας ἑστῶτες δορυφοροι κατεγελων ὡς ἀποδειλιῶντος αὐτοῦ, και μαλακον ἐκαλουν και ἀνανδρον· ὁ δ᾽ Ἀρχιας προσελθων ἀνιστασθαι παρεκαλει. και τους αὐτους ἀνακυκλῶν λογους, αὖθις ἐπηγγελλετο διαλλαγας προς τον Ἀντιπατρον· ἠδη δε συνῃσθημενος ὁ Δημοσθενης ἐμπεφυκοτος αὐτῷ του φαρμακοῦ και κρατοῦντος. ἐξεκαλυψατο· και διαβλεψας προς τον Ἀρχιαν· Ουκ ἂν φθανοις. εἰπεν, ἠδη τον ἐκ τῆς τραγῳδιας ὑποκρινομενος Κρεοντα, και το σῶμα τουτο ῥιπταν ἀταφον, ἐγω δ᾽. ὦ φιλε Ποσειδον, ετι ζῶν εξανισταμαι του ἱεροῦ· τῷ δε Ἀντιπατρῳ και Μακεδοσιν οὐδ᾽ ὁ σος ναος καθαρος ἀπολελειπται: Ταῦτ᾽ εἰπων, και κελευσας ὑπολαβεῖν αὐτον ἠδη τρεμοντα και σφαλλομενον, ἁμα τῷ προελθεῖν και παραλλαξαι τον βωμον ἐπεσε, και στεναξας ἀφῆκε την ψυχην. Το δε

φαρμακον 'Αρίστων μεν ἐκ τοῦ καλαμου λαβεῖν φησιν αὐτον, ὡς εἰρηται. Παππος δε τις, οὗ την ἱστοριαν 'Ερμιππος ἀνειληφε, φησι, πεσοντος αὐτοῦ παρα τον βωμον, ἐν μεν τῷ βιβλιῳ γεγραμμενην ἐπιστολῆς ἀρχην εὑρεθῆναι, Δημοσθενης 'Αντιπατρῳ, και μηδεν ἀλλό· θαυμαζομενης δε τῆς περι τον θανατον ὀξυτητος, διηγεῖσθαι τους παρα ταῖς θυραις Θρᾶκας, ὡς ἐκ τινος ῥακιου λαβων εἰς την χεῖρα, προσθοῖτο τῷ στοματι και καταπιοι το φαρμακον· αὐτοι δ' ἀρα χρυσον ᾠηθησαν εἶναι το καταπινομενον· ἡ δ' ὑπηρετοῦσα παιδισκη, πυνθανομενων τῶν περι τον 'Αρχιαν, φαιη, πολυν εἶναι χρονον. ἐξ οὗ φοροιη τον ἀποδεσμον ἐκεῖνον ὁ Δημοσθενης, ὡς φυλακτηριον. 'Ερατοσθενης δε και αὐτος ἐν κρικῳ φησι κοιλῳ το φαρμακον φυλασσειν· τον δε κρικον εἶναι τοῦτον αὐτῷ φορημα περιβραχιονι ν· τῶν δ' ἀλλων ὁσοι γεγραφασι περι αὐτοῦ, παμπολλοι δε εἰσι, τας διαφορας οὐκ ἀναγκαῖον ἐπεξελθεῖν· πλην ὁτι Δημοχαρης, ὁ τοῦ Δημοσθενους οἰκεῖος, οἰεσθαι φησιν, αὐτον οὐχ ὑπο φαρμακου, θεῶν δε τιμῇ και προνοιᾳ τῆς Μακηδονων ὠμοτητος ἐξαρπαγῆναι, συντομως καταστρεψαντα και ἀλυπως· κατεστρεψε δ' ἐκτη

ἐπι δεκα τοῦ Πυανεψιῶνος μηνος, ἐν ᾗ την σκυθρωποτατην τῶν θεσμοφοριων ἡμεραν ἀγουσαι παρα τῇ θεῷ νηστευουσιν αἱ γυναῖκες· τουτῳ μεν ὀλιγον ὑστερον ὁ τῶν Ἀθηναιων δῆμος ἀξιαν ἀποδιδους τιμην, εἰκονα τε χαλκῆν ἀνεστησε, και τον πρεσβυτατον ἐψηφισατο τῶν ἀπο τοῦ γενους ἐν Πρυτανειῳ σιτησιν ἐχειν· και το ἐπιγραμμα το θρυλλουμενον ἐπεγραφη τῇ βασει τοῦ ἀνδριαντος.

Εἴπερ ἴσην ῥωμην γνωμῃ, Δημοσθενες εἶχες,
Οὔποτ' ἂν Ἑλληνων ἦρξεν ἄρης Μακεδων.

οἱ γαρ αὐτον τον Δημοσθενη τοῦτο ποῖησαι λεγοντες ἐν Καλαβριᾳ, μελλοντα τα φαρμακον προσφερεσθαι, κομιδῇ φλυαροῦσι. Μικρον δε προσθεν, ἢ παραβαλεῖν ἡμᾶς Ἀθῆναζε, λεγεται τι τοιοῦτον συμβῆναι· στρατιωτης ἐπι κρισιν τινα καλουμενος ὑφ' ἡγεμονος, ὁσον εἶχε χρυσιδιον εἰς τας χεῖρας ἀνεθηκε τοῦ ἀνδριαντος· ἑστηκε δε τους δακτυλους συνεχων δι' ἀλληλων, και παραπεφυκεν οὐ μεγαλη πλατανος· ἀπο ταυτης πολλα τῶν φυλλων, εἰτε πνευματος ἐκ τυχης καταβαλοντος, εἶτ' αὐτος οὕτος ὁ θεις ἐκαλυψε, περικειμενα και συμπεσοντα λαθεῖν

εποιησε το χρυσιον ουκ ολιγον χρονον· ως δ' ο ανθρωπος επανελθων ανευρε, και διεδοθη λογος υπερ τουτου, πολλος των ευφυων υποθεσιν λαβοντες εις το αδωροδοκητον του Δημοσθενους, διημιλλωντο τοις επιγραμμασι. Δημαδην δε, χρονον ου πολυν απολαυσαντα της φυομενης δοξης, η Δημοσθενους δικη κατηγαγεν εις Μακεδονιαν. ους εκολακευεν αισχρως. υπο τουτων εξολουμενον δικαιως· επαχθη μεν οντα και προτερον αυτοις, τοτε δ' εις αιτιαν αφυκτον εμπεσοντα· γραμματα γαρ εξεπεσεν αυτου, δι ων παρεκαλει Περδικκαν επιχειρειν Μακεδονια, και σωζειν τους Ελληνας. ως απο σαπρου και παλαιου στημονος λεγων τον Αντιπατρον, ηρτημενους· εφ' οις Δειναρχου του Κορινθιου κατηγορησαντος, παροξυνθεις ο Κασανδρος εγκατεσφαξεν αυτου τω κολπω τον υιον. ειτα ουτως εκεινον ανελειν προσεταξεν, εν τοις μεγιστοις διδασκομενον ατυχημασιν· οτι πρωτους εαυτους οι προδοται πωλουσιν· ο πολλακις Δημοσθενους προαγορευοντος, ουκ επιστευσε· τον μεν ουν Δημοσθενους απεχεις, Σοσσιε. βιον, εξ ων ημεις ανεγνωμεν, η διηκουσαμεν.

ISOCRATIS AD DEMONICUM

ORATIO HORTATORIA.

Εν πολλοῖς μεν, ὦ Δημονικε, πολυ διεστωσας εὑρησομεν τας τε τῶν σπουδαιων γνωμας, και τας τῶν φαυλων διανοιας: πολυ δε μεγιστην διαφοραν εις ληφασιν εν ταῖς προς ἀλληλους συνηθειαις. Οι μεν γαρ τους φιλους παροντας μονον τιμῶσιν· οι δε και μακραν ἀποντας ἀγαπῶσι. Και τας μεν τῶν φαυλων συνηθειας ολιγος χρονος διελυσε: τας δε τῶν σπουδαιων φιλιας ουδ᾽ αν ὁ πᾶς αιων εξαλειψειεν. Ηγουμενος οὖν πρεπειν τους δοξης ορεγομενους, και παιδιας αντιποιυμενους, τῶν σπουδαιων, αλλα μη τῶν φαυλων ειναι μιμητας, απεσταλκα σοι τονδε τον λογον δῶρον, τεκμηριον μεν τῆς προς ημας φιλιας, συμεῖον δε τῆς προς Ἱππονικον συνηθειας. Πρεπει γαρ τους παῖδας, ὥσπερ τῆς ουσιας, ουτω και τῆς φιλιας τῆς πατρικῆς κληρονομεῖν· Ορῶ δε και την τυχην ἡμῖν συλ-

λαμβανουσαν, και τον παροντα καιρον συναγωνιζομενον · συ μεν γαρ παιδειας επιθυμεῖς, εγω δε παιδευειν αλλους επιχειρῶ· και συ μεν ακμην φιλοσοφεῖς, εγω δε τους φιλοσοφοῦντας επανορθῶ. Οσοι μεν οὖν προς τους εαυτῶν φιλους τους προτρεπτικοὺς λογους συγγραφουσι, καλον μεν εργον επιχειροῦσιν, ου μεν περι γε το κρατιστον τῆς φιλοσοφιας διατριβουσι. Οσοι δε τοῖς νεωτεροις εισηγοῦνται, μη δἰ ὧν την δεινοτητα την εν τοῖς λογοις ἀσκησουσιν, αλλ' οπως τα τῶν τροπων ηθη σπουδαῖοι πεφυκεναι δοξουσι, τοσουτῳ μᾶλλον εκεινων τοὺς κουοντας ωφελοῦσιν, ὅσον οἱ μεν επι λογον μονον παρακαλοῦσιν, οἱ δε και τον τροπον αυτῶν ουπανορθοῦσι. Διοπερ ἡμεῖς ου παρακλησιν εὑροντες, αλλα παραινεσιν γραψαντες, μελλομεν σοι συμβουλευειν, ὧν χρῆ τους νεωτερους ορεγεσθαι, και τινων εργων απεχεσθαι, και ποιοις τισιν ανθρωποις ομιλεῖν, και πῶς τον ἑαυτῶν βιον οικονομεῖν. Οσοι γαρ τοῦ βιου ταυτην την οδον επορευθησαν, οὗτοι μονοι τῆς αρετῆς εφικεσθαι γνησιως εδυνηθησαν · ἧς ουδεν κτῆμα σεμνοτερον, ουδε βεβαιοτερον εστιν. Καλ-

λος μεν γαρ ὁ χρονος αναλωσεν, ἡ νοσος εμαρανε· πλουτος δε κακιας μαλλον, ἡ καλοκαγαθιας ὑπηρετης εστιν, εξουσιαν μεν τῃ ῥαθυμιᾳ παρασκευαζων, επι δε τας ἡδονας τους νεους παρακαλων. Ῥωμη δε μετα μεν φρονησεως ωφελησεν, ανευ δε ταυτης πλειω τους εχοντας εβλαψε· και τα μεν σωματα των ασκουντων εκοσμησε, ταις δε της ψυχης επιμελειαις επεσκοτησεν. Ἡ δε της αρετης κτησις, οἱς αν ακιβδηλως ταις διανοιαις συναυξηθῃ, μονη μεν συγγηρασκει: πλουτου δε κρειττων, χρησιμωτερα δε ευγενειας εστι· τα μεν τοις αλλοις αδυνατα, δυνατα καθιστωσα· τα δε τῳ πληθει φοβερα θαρσαλεως ὑπομενουσα, και τον μεν οκνον, ψογον, τον δε πονον επαινον εγουμενη. Ῥαδιον δε τουτο καταμαθειν εστιν εκ τε των Ἡρακλεους αθλων, και των Θησεως εργων· οἱς ἡ των τροπων αρετη τηλικουτον ευδοξιας χαρακτηρα τοις εργοις επεβαλεν, ωστε μηδε τον απαντα χρονον δυνασθαι ληθην εμποιησαι των εκεινοις πεπραγμενων. Ου μεν αλλα και τας του πατρος προαιρεσεις αναμνησθεις, οικειον και καλον εξεις παραδειγμα των ὑπ' εμου λεγο-

μεναι· ουδε γαρ ολιγωρῶν τῆς αρετῆς ουδε ῥαθυμῶν διετελεσε τον βιον· αλλα το μεν σωμα τοῖς πονοις εγυμναζε, τε δε ψυχῇ τους κινδυνους ὑπεμενεν· ουδε τον πλουτον παρακαιρως ηγαπα, αλλ' απηλαυε μεν των παροντων αγαθῶν, ως θνητος, επεμελεῖτο δε τῶν ὑπαρχοντων, ως αθανατος. ουδε ταπεινῶς διῴκει τον εαυτου βιον, αλλα φιλοκαλος τε ἦν και μεγαλοπρεπης, και τοῖς φιλοις κοινος, και μᾶλλον εθαυμαζε τους περι αυτον σπουδαζοντας, ἡ τους τῷ γενει προσηκοντας. Ἡγεῖτο γαρ εἰναι προς εταιρειαν πολλῷ κρειττω φυσιν, νομου και τροπον, γενους και προαιρεσιν αναγκης. Επιλιποι δ' αν ἡμᾶς ὁ πᾶς χρονος, ει πασας τας εκεινου πραξεις καταριθμησαιμεθα. Αλλα το μεν ακριβες αυτων ἐν ἑτεροις καιροῖς δηλωσομεν· δεῖγμα δε τῆς Ἱππωνικου φυσεως νῦν εξενηνοχαμεν, προς ὁ δεῖ σε ζῆν, ὥσπερ προς παραδειγμα· νομον μεν τον εκεινου τροπον ηγησαμενον, μιμητην δε και ζηλωτην τῆς πατρῴας αρετῆς γενομενον. Αισχρον γαρ τους μεν γραφεῖς απεικαζειν τα καλα τῶν ζωων, τους δε παῖδας μη μιμεῖσθαι τους σπουδαιους τῶν γονεων. Ἡγοῦ δε μηδενα

των αθλητῶν ουτω προσηκειν επι τους ανταγωνιστας ασκεῖν, ως σοι σκοπεῖν, οπως εφαμιλλος γενηση τοῖς τοῦ πατρος επιτηδευμασιν. Ουτω δε την γνωμην αδυνατον διατεθῆναι, τον μη πολλῶν και καλῶν ακουσματων πεπληρωμενον. Τα μεν γαρ σωματα τοῖς συμμετροις πονοις, η δε ψυχη τοῖς σπουδαιοις λογοις αυξεσθαι πεφυκε. Διοπερ εγω σοι πειρασομαι συντομως · ὑποθεσθαι, δι' ὧν ἄν μοι δοκοιης επιτηδευματων πλεῖστον προς αρετην ἐπιδοῦναι, και παρα τοῖς ἄλλοις απασιν ανθρωποις εὐδοκιμῆσαι. Πρῶτον μεν ουν ευσεβει τα προς τους θεους, μη μονον θυων, αλλα και τοῖς ορκοις εμμενων · εκεῖνο μεν γαρ τῆς τῶν χρηματων ευποριας σημεῖον, τοῦτο δε τῆς τῶν τροπων καλοκαγαθιας τεκμηριον. Τιμα το δαιμονιον αει μεν, μαλιστα δε μετα τῆς πολεως. Ουτω γαρ δοξεις αμα τε τοῖς θεοῖς θυειν, και τοῖς νομοις εμμενειν. Τοιοῦτος γινου περι τους γονεῖς, οιους αν ευξαιο περι σεαυτον γενεσθαι τους σαυτοῦ παῖδας. Ασκει τῶν περι το σωμα γυμνασιων, μη τα προς την ῥωμην, αλλα τα προς την ὑγιειαν συμφεροντα. Τουτου δ' αν επιτυγχανοις, ει ληγοις τῶν πο-

υχν ἐτι πονεῖν δυναμενος. Μητε γελωτα προπετῆ στεργε, μητε λογον μετα θρασους αποδεχου· το μεν γαρ, ανοητον, το δε μανικον. Ἁ ποιεῖν αισχρον, ταῦτα νομιζε μηδε λεγειν εἶναι καλον. Ἐθιζε σαυτον εἶναι μη σκυθρωπον ἀλλα συννουν· δι' εκεῖνο μεν γαρ αυθαδης, δια δε τουτο φρονιμος εἶναι δοξεις. Ἡγοῦ μαλιστα σεαυτῷ πρεπειν κοσμον, αισχυνην, δικαιοσυνην, σωφροσυνην, τουτοις γαρ απασι δοκεῖ κρατεῖσθαι το τῶν νεωτερων ηθος. Μηδεποτε μηδεν αισχρον ποιησας ελπιζε λησειν, και γαρ ἀν τους αλλους λαθῃς, σαυτῷ γε συνειδησεις. Τους μεν θεους φοβοῦ, τους δε γονεῖς τιμα, τους δε φιλους ἀισχυνου, τοῖς δε νομοις πιθου. Τας ηδονας θηρευε τας μετα δοξης. Τερψις γαρ, συν τῷ καλῷ μεν, αριστον. ανευ δε τουτου, κακιστον. Ευλαβοῦ τας διαβολας, καν ψευδεῖς ὦσιν· οἱ γαρ πολλοι την μεν αληθειαν ἀγνοοῦσιν, προς δε την δοξαν αποβλεπουσιν. Ἀπαντα δοκει ποιεῖν ὡς μηδενα λησων· και γαρ αν παραυτικα κρυψης, ὑστερον οφθηση. Μαλιστα δ' ἀν ευδοκιμοιης, ει φαινοιο ταῦτα μη πραττων, ἁ τοῖς ἀλλοις αν πραττουσιν επιτι-

μωης. Εαν ῃς φιλομαθης, εση και πολυμαθης. Ἁ μεν επιστασαι, διαφυλαττε ταις μελεταις, ἁ δε μη μεμαθηκας, προσλαμβανε ταις επιστημαις· ὁμοιως γαρ αισχρον ακουσαντα χρησιμον λογον μη μανθανειν. και διδομενον τι αγαθον παρα των φιλων μη λαβειν. Καταναλισκε την εν τῳ βιῳ σχολην εις την των λογων φιληκοιαν· ουτω γαρ, τα τοις αλλοις χαλεπως εὑρημενα, συμβησεται σοι ραδιως μανθανειν. Ἡγου των ακουσματων πολλα πολλων ειναι χρηματων κρειττω· τα μεν γαρ ταχεως απολειπει· τα δε παντα τον χρονον παραμενει· σοφια γαρ μονη των κτηματων αθανατον· Μη κατοκνει μακραν οδον πορευεσθαι προς τους διδασκειν τι χρησιμον επαγγελλομενους· αισχρον γαρ τους μεν εμπορους τηλικαυτα πελαγη διαπεραν, ενεκα του πλειω ποιησαι την υπαρχουσαν ουσιαν, τους δε νεωτερους μηδε τας κατα γην πορειας ὑπομενειν, επι τῳ βελτιω καταστησαι την ἑαυτων διανοιαν. Τῳ μεν τροπῳ γινου φιλοπροσηγορος, τῳ δε λογῳ ευπροσηγορος· εστι δε φιλοπροσηγοριας μεν το προσφωνειν τους απαντωντας, ευπροσηγοριας δε το τοις λογοις αυτοις δι-

κειως εντυγχανειν. Ἥδεως μεν εχε προς ἁπαντας, χρω̃ δε τοι̃ς βελτιστοις· ουτω γαρ τοι̃ς μεν ουκ απεχθης εση· τοι̃ς δε φιλος γενηση. Τας εντευξεις μη πυκνας ποιου̃ τοι̃ς αυτοι̃ς, μηδε μακρας περι τω̃ν αὐτω̃ν· πλησμονη γαρ απαντων. Γυμναζε σεαυτον πονοις ἑκουσιοις, ὅπως αν δυναιο και τους ακουσιους ὑπομενειν. Ὑφ' ὧν κρατει̃σθαι την ψυχην αισχρον, τουτων εγκρατειαν ασκει παντων, κερδους, οργη̃ς, ἡδονη̃ς, λυπης· εση δε εν τῳ̃ κερδει τοιου̃τος, ἀν κερδη̃ μεν ει̃ναι νομιζης δι' ὧν ευδοκιμησεις, αλλα μη δι' ὧν ἑυπορησεις. Εν δε τη̃ οργη̃ ἀν παραπλησιως εχης προς τους αμαρτανοντος, ωσπερ αν προς σαυτον ἁμαρτανοντα και τους αλλους εχειν αξιωσειας· εν δε τοι̃ς τερπνοι̃ς, αν αισχρον ὑπολαβης, τω̃ν μεν οικετω̃ν αρχειν, ταις δ' ἡδοναι̃ς δουλευειν· εν δε τοι̃ς λυπηροι̃ς, αν τας τω̃ν αλλων ἀτυχιας επιβλεπης και σεαυτον, ὡς ανθρωπος ων, ὑπομνησκης. Μα̃λλον τηρει τας τω̃ν λογων, ἡ τας τω̃ν χρηματων παρακαταθηκας· δει̃ γαρ τους αγαθους ανδρας τροπον ὁρκου πιστοτερον φαινεσθαι παρεχομενους. Προση̃κειν ἡγου̃ τοι̃ς πονηροι̃ς ἀπιστει̃ν, ὡσπερ τοι̃ς χρη-

στοῖς πιστευειν. Περι τῶν αποῤῥητων μηδενι λεγε, πλην ἐαν ομοιως ξυμφερη τας πραξεις σιωπασθαι σοι τε τῳ λεγοντι, κἀκεινοις τοις ακουουσιν. Ὅρκον επακτον προσδεχου, δια δυω προφασεις, ἠ σεαυτον αιτιας αισχρᾶς απολυων, ἠ φιλους ἐκ κινδυνων διασωζων. Ενεκα δε χρηματων μηδενα θεον ομοσης. μηδ' αν ευορκεῖν μελλης· δοξεις γαρ τοῖς μεν επιορκεῖν τοῖς δε φιλοχρηματως εχειν. Μηδενα φιλον ποιου, πριν ἀν εξετασης πῶς κεχρηται τοῖς προτεροις φιλοις· ελπιζε γαρ αυτον και περι σε γενεσθαι τοιουτον, οἷος και περι εκεινους γεγονε. Βραδεως μεν φιλος γινου· γενομενος δε, πειρῶ διαμενειν, ομοιως γαρ αισχρον μηδενα φιλον εχειν, και πολλους εταιρους μεταλλαττειν. Μητε μετα βλαβης πειρῶ τῶν φιλων μητε ἀπειρος εἶναι τῶν εταιρων θελε· τουτο δε ποιησεις αν, μη δεομενος, το δεῖσθαι προσποιῇ, περι δε τῶν ρητῶν, ὡς ἀποῤῥητων ανακοινῇ. Μη τυχων μεν γαρ ουδεν βλαβηση, τυχων δε μαλλον τον τροπον αυτῶν ἐπιστηση. Δοκιμαζε τους φιλους εκ τε της περι τον βιον ἀτυχιας, και της εν τοις κινδυνοις κοινωνιας· το μεν γαρ χρυσιον ἐν τῳ πυρι

δοκιμαζομεν τους δε φιλους ἐν ταῖς ἀτυχιαις διαγινωσκομεν. Οὕτω δ' αν ἄριστα χρηση τοῖς φιλοις, αν μη περιμενης τας παρ' ἐκεινων δεησεις, ἀλλ' αυτεπαγγελτος εν τοῖς καιροῖς αυτοῖς βοηθῆς. Ομοιως αισχρον νομιζε τῶν εχθρῶν νικᾶσθαι ταῖς κακοποιιαις και τῶν φιλων ἡττᾶσθαι ταῖς ἐυεργεσιαις. Αποδεχου τῶν εταιρων, μη μονον τους επι τοῖς κακοῖς δυσχεραινοντας. αλλα και τους επι τοῖς αγαθοῖς μη φθονοῦντας. Πολλοι μεν γαρ ατυχοῦσι τοῖς φιλοις συναχθονται, καλῶς δε πραττουσι φθονοῦσι. Τῶν ἀποντων φιλων μεμνησο προς τους παροντας, ινα δοκῆς μηδε τουτων αποντων ολιγωρεῖν. Εἶναι βουλου τα περι την ἐσθῆτα φιλοκαλος. αλλα μη καλλωπιστης, εστι γαρ φιλοκαλου μεν, το μεγαλοπρεπες, καλλωπιστοῦ δε, το περιεργον. Αγαπα τῶν ὑπαρχοντων αγαθῶν μη την ὑπερβαλλουσαν κτῆσιν, αλλα την μετριαν απολαυσιν· Καταφρονει τῶν περι τον πλοῦτον σπουδαζοντων. χρῆσθαι δε τοῖς υπαρχοῦσι μη δυναμενων· παραπλησιον γαρ οι τοιοῦτοι πασχουσιν, ὥσπερ ἄν οι τις ιππον κτησαιτο καλον, κακῶς ἱππευειν επισταμενος. Πειρῶ τον

πλουτον χρηματα και κτηματα κατασκευαζειν· ἐστι δε χρηματα μεν τοις απολαυειν ἐπισταμενοις, κτηματα δε τοις χρῆσθαι δυναμενοις. Τιμα την ὑπαρχουσαν ουσιαν δυοῖν ἑνεκα, τοῦ τε ζημιαν μεγαλην ἐκτισαι, και τοῦ φιλῳ σπουδαιῳ δυστυχοῦντι βοηθῆσαι· προς δε τον αλλον, μηδεν ὑπερβαλλοντως, ἀλλα μετριως ἀυτην αγαπα. Στεργε μεν τα παροντα, ζητει δε βελτιω. Μηδενι συμφοραν ὀνειδισῃς, κοινη γαρ ἡ τυχη, και το μελλον αορατον. Τους αγαθους ευποιει καλος γαρ θησαυρος παρα ανδρι σπουδαιῳ, χαρις ὀφειλομενη. Τους κακους ἐυποιῶν, ὁμοια πεισῃ τοις τας ἀλλοτριας κυνας σιτιζουσιν, εκεῖναι τε γαρ τους διδοντας, ωσπερ τους τυχοντας ὑλακτοῦσιν, οι τε κακοι τους ωφελοῦντας, ωσπερ τους βλαπτοντας ἀδικοῦσι. Μισει τους κολακευοντας, ωσπερ τους εξαπατῶντας· αμφοτεροι γαρ πιστευθεντες τους πιστευοντας ἀδικοῦσιν. Ἐαν αποδεχῃ τῶν φιλων τους προς το φαυλοτατον σοι χαριζομενους. ουχ ἑξεις ἐν τῳ βιῳ τους προς το βελτιστον απεχθανομενους. Γινου προς τους πλησιαζοντας ομιλητικος, αλλα μη σεμνος· τον μεν γαρ τῶν ὑπεροπτικῶν ογκον μολις ἀν

οἱ δοῦλοι καρτερήσειαν· τον δε τῶν ὁμιλητικῶν τροπον απαντες ἡδεως ὑποφερουσιν · ὁμιλητικος δε ἐσῃ μη δυσερις ων, μηδε δυσαρεστος, μηδε προς παντα φιλονεικος, μηδε προς τας τῶν πλησιαζοντων οργας τραχεως απαντῶν, μηδ' αν ἀδικως αργιζομενοι τουγχανωσιν · ἀλλα θυμουμενοις μεν αυτοις εικων, πεπαυμενοις δε της οργης επιπληττων· μηδε περι τα γελοια σπουδαζων, μηδε περι τα σπουδαια τοις γελοιοις χαιρων (το γαρ ἀκαιρον πανταχου λυπηρον) μηδε τας χαριτας αχαριστως χαριζομενος οπερ πασχουσιν οι πολλοι, ποιουντες μεν ευ, αηδως δε τοις φιλοις υπουργουντες. μηδε φιλαιτιος ων · βαρυ γαρ · μηδε φιλεπιτιμητης, παροξυντικον γαρ. Μαλιστα μεν ευλαβου τας εν τοις ποτοις συνουσιας· ἀν δε ποτε σοι συμπεσῃ καιρος, ἐξανιστατο προ μεθης · ὁταν γαρ ο νους υπο οινου διαφθαρῃ ταυτα πασχει τοις αρμασι, τοις τους ἡνιοχους ἀποβαλλουσιν · ἐκεινα τε γαρ ἀτακτως φερεται, διαμαρτανοντα τῶν ἐυθυνοντων, ἡ τε ψυχη πολλα σφαλλεται, διαφθαρεισης της διανοιας· Ἀθανατα μεν φρονει τῷ μεγαλοψυχος εἰναι, θνητα δε τῷ συμμετρως τῶν ὑπαρχοντων ἀπολαυειν. Ἡγου την

παιδειαν τοσουτῳ μειζον ἀγαθον ειναι της ἀπαιδευσιας οσῳ τα μεν ἀλλα μοχθηρα παντες κερδαινοντες πραττουσιν, αυτη δε μονη και προσεζημιωσε τους εχοντας· πολλακις γαρ ου τοις λογοις ελυπησαν, τουτῳ τοις εργοις την τιμωριαν εδωσαν. Ους αν Βουλῃ ποιησασθαι φιλους, ἀγαθον τι λεγε περι αυτων προς τους ἀπαγγελλοντας· ἀρχη μεν γαρ φιλιας, επαινος, ἐχθρας δε, ψογος. Βουλευομενος, παραδειγματα ποιου τα παρεληλυθοτα των μελλοντων· το γαρ ἀφανες ἐκ του φανερου ταχιστην ἐχει την διαγνωσιν. Βουλευου μεν βραδεως ἐπιτελει δε ταχεως τα δοξαντα. Ηγου κρατιστον εἰναι παρα μεν θεων ἐυτυχιαν, παρα δ' ἡμων ευβουλιαν. Περι ὧν αν ἀισχυνη παρρησιασασθαι, βουλει δε τισι των φιλων ανακοινωσασθαι, χρῶ τοις λογοις, ὡς περι ἀλλοτριου του πραγματος· ουτω γαρ την εκεινων τε γνωμην ἀισθηση, και σεαυτον οὐ καταφανῆ ποιησεις· όταν δε ὑπερ των σεαυτου μελλης τινι συμβουλευεσθαι, σκοπει πρωτον πως υπερ των αυτου διωκησεν· ὁ γαρ κακως διανοηθεις ὑπερ των ιδιων, ουδεποτε καλως βουλευσεται περι των αλλοτριων. Ουτω δ' αν μαλιστα βουλευεσθαι παροξυνθε-

ιης, ἐι τας συμφορας τας ἐκ τῆς αβουλιας επιβλεψειας και γαρ τῆς ὑγιειας πλειστην ἐπιμελειαν εχομεν, ὁταν τας λυπας τας ἐκ τοῦ αῤῥωστιας αναμνησθῶμεν. Μιμοῦ τα τῶν βασιλεων ηθη, και διωκε τα ἐκεινων επιτηδευματα δοξεις γαρ αυτους ὑποδεχεσθαι και ζηλοῦν ὡς τε σοι συμβησεται παρα τε τῷ πληθει μᾶλλον ἐυδοκιμεῖν, και την παρ' εκεινων ἐυνοιαν βεβαιοτεραν εχειν. Πειθου μεν και τοῖς νομοις ὑπο τῶν βασιλεων κειμενοις· ἰσχυροτατον μεν τοι νομον ἡγοῦ τον εκεινων τροπον· ωσπερ γαρ τον εν δημοκρατιᾳ πολιτευομενον, το πλῆθος δεῖ θεραπευειν, ουτω και τον ἐν μοναρχιᾳ κατοικοῦντα, τον βασιλεα προσηκει θαυμαζειν. Εις αρχην κατασταθεις μηδενι χρῶ πονηρῷ πρὸς τας διοικησεις· ὧν γαρ ἀν εκεινος ἀμαρτοι, σοι τας αιτιας αναθησουσιν. Ἐκ τῶν κεινων επιμελειῶν απαλλαττου μη πλουσιωτερος, αλλ' ενδοξοτερος πολλῶν γαρ χρηματων κρειττων ὁ παρα τοῦ πληθους επαινος. Μηδενι πονηρῷ πραγματι μητε παριστασο, μητε συνηχορει· δοξεις γαρ και ουτος τοιαῦτα πραττειν οἷαπερ αν τοις αλλοις πραττουσι βοηθῆς. Παρασκευαζε σεαυτον πλεονεκτεῖν μεν δυναμενον, ἀνεχου δε το ισον εχειν·

ἵνα δοκῇς ὀρεγεσθαι τῆς δικαιοσυνης μη δι' ασθενειαν, αλλα δι' επιεικειαν. Μᾶλλον ἀποδεχου δικαιαν πενιαν, ἢ πλοῦτον ἄδικον· τοσουτω γαρ κρειττων δικαιοσυνη χρηματων, ὅσῳ τα μεν ζῶντας μονον ὠφελεῖ, ἡ δε και τελευτησασι δοξαν παρασκευαζει, κἀκεινων μεν τοῖς φαυλοις μετεστι, ταυτης δε τοῖς μοχθηροῖς αδυνατον μεταλαβεῖν. Μηδενα ζηλου τῶν ἐξ ἀδικιας κερδαινοντων, αλλα μᾶλλον ἀποδεχου τους μετα δικαιοσυνης ζημιωθεντας· οἱ γαρ δικαιοι τῶν ἀδικων, εἰ μηδεν αλλο πλεονεκτοῦσιν, αλλ' οὖν ελπισι γε σπουδαιαις ὑπερεχουσι. Παντων μεν επιμελοῦ τῶν περι τον βιον, μαλιστα δε την σεαυτοῦ φρονησιν ασκει· μεγιστον γαρ εν ελαχιστῳ, νοῦς αγαθος εν ανθρωπου σωματι. Πειρῶ το μεν σῶμα εἶναι φιλοπονος, την δε ψυχην φιλοσοφος, ινα τῷ μεν ἐπιτελεῖν δυνῃ τα δοξαντα, τῇ δε προορᾶν επιστῃ τα συμφεροντα. Πᾶν ὅ,τι αν μελλῃς λεγειν, προτερον επισκοπει τῇ γνωμῃ· πολλοῖς γαρ ἡ γλῶττα προτρεχει τῆς διανοιας. Δυο ποιοῦ καιρους τοῦ λεγειν, ἢ περι ων οἶσθα σαφῶς, ἢ περι ων αναγκαῖον ειπεῖν, εν τουτοις γαρ μονοις ὁ λογος τῆς σιγῆς κρειττων, εν δε τοῖς αλλοις, αμεινον

σιγᾶν η λεγειν. Νομιζε μηδεν ειναι των ανθρωπινων βεβαιον· ουτω γαρ ουτ' ευτυχων, εση περιχαρης, ουτε δυστυχων, περιλυπος. Χαιρε μεν επι τοις συμβαινουσι των αγαθων, και λυπου μετριως επι τοις γιγνομενοις των κακων· γινου δε τοις αλλοις μηδ' εν εταιροις ων καταδηλος· ατοπον γαρ την μεν ουσιαν ἐν ταις οικιαις ἀποκρυπτειν, την δε διανοιαν φανεραν ἐχοντα περιπατειν. Μᾶλλον ἐυλαβου ψογον, ἢ κινδυνον· δει γαρ ειναι φοβεραν τοις μεν φαυλοις την του βιου τελευτην, τοις δε σπουδαιοις την εν τω ζῆν αδοξιαν. μαλιστα μεν πειρω ζῆν κατα ασφαλειαν· εαν δε ποτε σοι συμβῆ κινδυνευειν, ζητει την εκ του πολεμου σωτηριαν μετα καλῆς δοξης, αλλα μη μετ' αἰσχρᾶς φημης· το μεν γαρ τελευτῆσαι, παντων η πεπρωμενη κατεκρινε, το δε καλως αποθανειν, ἰδιον τοις σπουδαιοις, η φυσις απενειμε. Και μη θαυμασης, ει πολλα των ειρημενων ου πρεπει σοι προς την νυν παρουσαν ηλικιαν· ουδε γαρ ἐμε τουτο διελαθεν, αλλα προειλομην δια τῆς αυτῆ πραγματειας αμα του τε παροντος βιου συμβουλιαν ἐξ ενεγκειν, και του μελλοντος χρονου παραγγελμα καταλιπειν. Την μεν

γαρ τουτων χρειαν ῥαδιως ἑυρησεις, τον δε συμβουλευοντα μετ' ευνοιας χαλεπως ευρησεις· οπως ουν τα λειπα μη παρ' ἑτερου ζητῆς, αλλ' εντευθεν ωσπερ εκ ταμιειου προφερης ῳηθην δειν μηδεν παραλιπειν, ὧν άν εχω σοι συμβουλευειν. Πολλη δ' ἀν τοις θεοις χαριν σχοιην, ει μη διαμαρτοιμι τῆς δοξης, ην εχων περι σου τυγχανω. Των γαρ αλλων τους πλειστους ευρησομεν, ωσπερ των σιτιων τοις ἡδιστοις μαλλον, ἡ τοις ὑγιεινοτατοις χαιροντας, ουτω και των φιλων τοις συνεξαμαρτανουσι πλησιαζοντας, αλλ' οὐ τοις νουθετουσι. Σε δε νομιζω τουναντιον τουτων εγνωκεναι, τεκμηριῳ χρωμενος τῃ περι την αλλην σου παιδειαν φιλοπονια· τον γαρ αυτῳ τα βελτιστα πραττειν επιταττοντα, τουτον εικος και των αλλων τους επι την ἀρετην παρακαλουντας ἀποδεχεσθαι. Μαλιστα δ' αν παροξυνθεις ορεχθηναι των καλων εργων, ει καταμαθοις, οτι και τας ἡδονας τας εκ τουτων μαλιστα γνησιως εχομεν. Εν μεν γαρ τῳ ῥαθυμειν και τας πλησμονας αγαπαν, ευθυς αι λυπαι ταις ἡδοναις παραπεπηγασι· το δε περι την αρετην φιλοπονειν, και σωφρονως τον ἑαυτου βιον οικονομειν, αει τας τερψεις

ειλικρινεῖς, καὶ βεβαιοτέρας ἀποδίδωσι. Κἀκεῖ μεν πρῶτον ησθεντες, υστερον ελυπηθημεν. Εν ἁπασι δε τοῖς εργοις, ουχ ουτω τῆς αρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αισθησιν λαμβανομεν· τα γαρ πλεῖστα τῶν περι τον βιον, ου δι' αὐτα τα πραγματα ποιοῦμεν, αλλα των αποβαινοντων ενεκα διαπονοῦμεν. Ενθυμοῦ δε διοτι τοῖς μεν φαυλοις ενδεχεται τα τυχοντα πραττειν· εὐθυς γαρ τοῦ βιου τοιαυτην πεποιηνται την ὑποθεσιν· τοῖς δε σπουδαιοις ουχ' οἷον τε τῆς αρετῆς αμελεῖν, ἠ πολλους εχειν τους επιπληττοντας παντες γαρ μισοῦσιν ουχ ουτω τους εξαμαρτανοντας, ὡς τους επιεικεῖς μεν φασκοντας εἶναι, μηδεν δε τῶν τυχοντων διαφεροντας· εικοτως. Ὅπου γαρ τους τῷ λογῳ μονῳ ψευδομενους αποδοκιμαζομεν, ηπου τους τῷ βιῳ παντι ελαττουμενους, ὀυ φαυλους εἶναι φησομεν; δικαιως δ' αν τους τοιουτους υπολαβοιμεν, μη μονον εις εαυτους ἡμαρτακειν, αλλα και τῆς τυχης εἶναι προδοτας· ἡ μεν γαρ αυτοῖς χρηματα, και δοξαν, και φιλους ενεχειρισεν, οι δε, σφᾶς αυτους αναξιους τῆς υπαρχουσης ευδαιμονιας κατεστησαν. Ει δε δεῖ, θνητον ὀντα, τῆς τῶν θεῶν στοχασας

σθαι διανοιας, ηγουμαι κἀκεινους επι τοῖς οικειοτατοις μαλιστα δηλῶσαι, πως ἔχουσι προς τους φαυλους και τους σπουδαιους τῶν ανθρωπων. Ζευς γαρ Ἡρακλεα και Ταντάλον γεννησας, ως οι μυθοι λεγουσι, και παντες πιστευουσι, τον μεν, δια την αρετην αθανατον εποίησε· τον δε δια την κακιαν ταῖς μεγισταις τιμωριαις ἐκολασεν. Οἷς χρῆ παραδειγμασι χρωμενους ορεγεσθαι τῆς καλοκαγαθιας, και μη μονον τοῖς υφ' ἡμῶν ειρημενοις εμμενειν, αλλα και τῶν ποιητῶν τα βελτιστα μανθανειν, και τῶν αλλων σοφιστῶν, ἐι τι χρησιμον ειρηκασιν, ἀναγιγνωσκειν· ωσπερ γαρ την μελιτταν ορῶμεν εφ' απαντα μεν τα βλαστηματα καθιζανουσαν, αφ' εκαστου δε τα χρησιμα λαμβανουσαν· ουτω χρη και τους παιδειας ορεγομενους, μηδενος μεν απειρους ἐχειν, πανταχοθεν δε τα χρησιμα συλλεγειν· μολις γαρ αντις εκ ταυτης τῆς επιμελειας τας τῆς φυσεως ἁμαρτιας επικρατησειεν.

EX

D. IO. CHRYSOSTOMI HOM. IN EVANGELIUM D. MATTHAEI.

LOCI SELECTI.

In avaros.

Τι δε ὁ φιλαργυρος; οὐχι τοιοῦτος; τις δε αὐτον ἰσχυει δῆσαι ποτε; οὐχι φοβοι και ἀπειλαι καθημεριναι, και παραινεσεις, και συμβουλαι; ἀλλα παντα ταῦτα διακοπτει τα δεσμα· κἀν ἐλθη τις αὐτον ἀπαλλαξαι τῶν δεσμῶν, ὁρκίζει ὥστε μη απαλλαγῆναι, βασανον ἡγουμενος εἶναι μεγιστην το μη εἶναι ἐν τῆ βασανῳ· οὗ τι γενοιτο χαλεπωτερον; ἐκεῖνος μεν γαρ ὁ δαιμων, εἰ και ανθρωπων κατεφρονησεν, ἀλλα τῷ προσταγματι εἶξε τοῦ Χριστοῦ. και ταχεως ἀπεπηδησε τοῦ σωματος· οὗτος δε ουδε τῷ προσταγματι εικει· ἰδου γοῦν καθ' ἑκαστην ἡμεραν ἀκουει αὐτου λεγοντος· οὐ δυνασθε θεῷ δουλευειν και μαμωνᾶ, και γεενναν ἀπειλοῦντος, και τας ἀνηκεστους κολασεις,

και οὐ πειθεται· ουχ ὁτι ἰσχυροτερος τοῦ Χριστοῦ, ἀλλ' ὁτι ἀκοντας ἡμᾶς Χριστος οὐ σωφρονιζει· δια τοῦτο ὡς ἐν ἐρημοις οἱ τοιοῦτοι διατριβουσι, καν ἐν μεσαις πολεσιν ὦσι· τις γαρ ἀν ἑλοιτο νοῦν ἐχων τοιουτοις συγγινεσθαι ανθρωποις; μᾶλλον ἀν ἐγωγε κατεδεξαμην μετα μυριων δαιμ[ο]νωντων οἰκεῖν, ἡ μετα ἑνος ταυτην νοσοῦντος την νοσον· και ὁτι οὐ σφαλλομαι ταῦτα λεγων, δῆλον ἐξ ὧν ἑκατεροι πασχουσιν· οὗτοι μεν γαρ τον οὐδεν ἠδικηκοτα εχθρον ἡγοῦνται, και βουλονται, και δοῦλον λαβεῖν τον ἐλευθερον ὀντα, και μυριοις περιβαλλουσιν κακοῖς· οἱ δε δαιμονῶντες ουδεν ἀλλο ἐργαζονται ἀλλ' ἐν ἑαυτοῖς την νοσον τρεφουσι· και οὗτοι μεν πολλας οἰκιας ἀνατρεπουσι, και το ὀνομα τοῦ θεοῦ βλασφημεισθαι παρασκευαζουσι, και λυμη πολεως και τῆς οἰκουμενης ἁπασης εἰσιν· οἱ δε ὑπο δαιμονων ἐνοχλουμενοι ἐλεεισθαι μᾶλλον εἰσιν ἀξιοι και δακρυεσθαι· και οἱ μεν ἐν ἀναισθησια τα πλειονα πραττουσι· οἱ δε μετα λογισμοῦ παραπαιουσιν, ἐν μεσαις πολεσι βακχευομενοι, και καινην τινα μαινομενοι μανιαν· Τι γαρ τοιοῦτον ἐργαζονται οἱ δαιμονῶντες ἁπαντες, οἱον Ιουδας ἐτολμησε την ἐσχατην παρανοιαν

ἐπιδειξάμενος; καὶ πάντες δὲ οἱ ἐκεῖνον ζηλοῦντες, καθάπερ θηρία χαλεπὰ ἀπὸ γαλεάγρας φυγόντα τὰς πόλεις θορυβοῦσιν οὐδενὸς κατέχοντος· περίκειται μὲν γὰρ καὶ τούτοις δεσμὰ πανταχόθεν· οἷον, ὁ τῶν δικαστῶν φόβος, ἡ τῶν νόμων ἀπειλὴ, ἡ παρὰ τῶν πολλῶν καταγνῶσις, καὶ ἕτερα πλείονα τούτων· ἀλλ' ὅμως καὶ ταῦτα διαῤῥηγνῦντες πάντα ἄνω καὶ κάτω ποιοῦσι· καὶ εἴ τις αὐτὰ τέλεον αὐτῶν ἀφεῖλε, τότε ἂν ἔγνω σαφῶς τὸν ἐν αὐτοῖς δαίμονα, πολὺ τοῦ νῦν ἐξελθόντος ἀγριώτερον ὄντα καὶ μανικώτερον. Ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔνι, τῷ λόγῳ τέως αὐτὸ ὑποθώμεθα, καὶ πάσας αὐτοῦ περιέλωμεν τὰς ἁλύσεις· καὶ τότε αὐτοῦ σαφῶς εἰσόμεθα τὴν λαμπρὰν μανίαν· ἐν γὰρ τῷ λόγῳ ἡ σκηνὴ, οὐκ ἐν τῇ ἀληθείᾳ τὸ πρᾶγμα· ἔστω τοίνυν τις ἄνθρωπος πῦρ ἀπὸ τῶν ὀφθαλμῶν ἀφιεὶς, μέλας, ἐξ ἑκατέρων τῶν ὤμων δράκοντας ἀντὶ χειρῶν ἔχων ἐξηρτημένους· ἔστω δὲ αὐτῷ καὶ στόμα, ἀντὶ μὲν ὀδόντων ξίφη ὀξέα ἔχον ἐμπεπηγότα, ἀντὶ δὲ γλώσσης ἰοῦ καὶ δηλητηρίου φαρμάκου πηγὴν ἀναβλύζουσαν· γαστὴρ δὲ, καμίνου πάσης δαπανητικωτέρα, τὰ ἐμβαλλόμενα ἀναλίσκουσα ἅπαντα καὶ πο-

δες ὑποπτεροι τινες και φλογος ἁπασης σφοδροτεροι· και το προσωπον δε αὐτῳ ἀπο κυνος και λυκου κατεσκευασμενον ἐστω· και φτεγγεσθω μηδεν ανθρωπικον, ἀλλ' απεχης τι, και ἀηδες, και φοβερον· ἐχετω δε και ἐν χερσι φλογα· ταχα, φοβερα δοκει εἰναι ὑμιν τα ἐιρημενα· ἀλλ' οὐδεπω κατ' ἀξιαν αὐτον ἐσχηματισαμεν· μετα γαρ τουτων, και ἑτερα δει προσθεῖναι· και γαρ και τους ἀπαντωντας σφαττετω, κατεσθιετω, τῶν σαρκῶν αυτῶν ἁπτεσθω· ἀλλα και τουτου πολλῷ χαλεπωτερος ὁ φιλαργυρος, πᾶσιν ἐπιων ὡσπερ ἁδης, παντα καταπινων, κοινος πολεμιος περιερχομενος τοῦ τῶν ανθρωπων γενους· και γαρ βουλεται μηδενα ἀνθρωπον εἰναι, ἱνα τα παντα κατεχῃ· και οὐδε ἐνταῦτα ἱσταται· ἀλλ' ὁταν παντας ἀπολεσῃ τῇ ἐπιθυμιᾳ, και τῆς γῆς την ὀυσιαν ἀφανισαι ἐπιθυμει, και χρυσον αυτην οὖσαν ἰδεῖν· οὐ την γῆν δε μονον, ἀλλα και ορη, και ναπας, και πηγας, και παντα ἁπλῶς τα φαινομενα· και ἱνα μαθητε ὁτι οὐδεπω την μανιαν παρεστησαμεν την ἐκεῖνου, μηδεις ἐστω ὁ ἐγκαλῶν και δεδιττομενος· ἀλλ' ἀνελε τον ἐκ τῶν νομων φοβον τῷ λογῳ τεως, και ὀψει αὐτον ξι-

φος ἁρπάσαντα, και παντας διαχρωμενον, και οὐδενος φειδομενον, οὐ φιλου, οὐ συγγενοῦς, οὐκ ἀδελφοῦ, οὐκ αυτοῦ τοῦ γεγεννηκοτος· μᾶλλον δε οὐδε ὑποθεσεως ἐνταῦθα χρεια· ἀλλ' ερωμεθα αὐτὸν εἰ μη τοιαυτας πλαττει ἀει καθ' εαυτου φαντασιας, και παντας ἐπεισιν, ἀναιρῶν τῷ λογισμῷ, και φιλους, και συγγενεῖς, και αὐτους τους γεγεννηκοτας· μᾶλλον δε οὐδε ἐρωτησεως χρεια· και γαρ παντες ἴσασιν ὅσοι τουτῳ κατεχομενοι εισι τῷ νοσηματι, ὅτι και γῆρας βαρυνονται πατρος; και το γλυκυ, και πᾶσιν ἐπεραστον το παῖδας ἐχειν, βαρυ και ἐπαχθες εἶναι νομιζουσι· πολλοι γοῦν και ἀτοκιαν δια τουτο ωνησαντο, και την φυσιν ἐπηρωσαν, οὐκ ἀνελοντες μονον τεχθεντας τους παῖδας, ἀλλα μηδε φῦναι την αρχην συγχωρησαντες· μη τοινυν θαυμασητε εἰ τον φιλαργυρον οὑτως ἐσχηματισαμεν· και γαρ πολυ χεῖρον ἐστι τῶν εἰρημενων· ἀλλα σκοπησωμεν πῶς του δαιμονος αυτον ἀπαλλαξομεν· πῶς οὖν ἀπαλλαξομεν; ει μαθοι σαφῶς ὅτι ἡ φιλαργυρια προς αὐτο τουτο μαλιστα ἡμῖν ἐναντιουται, προς το ποριζειν χρηματα· ἀει γαρ οἱ τα μικρα κερδαίνειν βουλομενοι, μεγαλας ὑπομενουσι ζημιας·

ὅθεν δη και παροιμια εις αὐτο τουτο ἐξενηνεκται· πολλοι γοῦν πολλακις ἐπι μεγαλοις δανεῖσαι βουλομενοι τοκοις, τῇ προσδοκια τοῦ κερδους οὐκ ἐξετασαντες τους λαβοντας, μετα τῶν τοκων, και τοῦ κεφαλαιου παντος ἐξεπεσαν· παλιν εις κινδυνους περιπεσοντες ἑτεροι, και οὐ βουληθεντες ὀλιγα προεσθαι, και την ψυχην μετα της οὐσιας ἀπωλεσαν· και παρον παλιν, ἡ ἀξιωματα κερδαλεα, ἢ ἀλλο τι τοιοῦτον ὠνησασθαι μικρολογησαντες, το πᾶν ἀπώλεσαν· ἐπειδη γαρ οὐκ ἴσασι σπειρειν, ἀλλα θεριζειν μεμελετηκασι, και τοῦ ἀμητοῦ συνεχῶς ἐκπιπτουσιν· οὐδεις γαρ ἀει θεριζειν δυναται, ωσπερ οὐδε ἀει κερδαινειν. ἐπι οὖν οὐ βουλονται δαπανᾶν οὐδε κερδαινειν ἴσασιν· ἀλλα κἀν γυναῖκα δεη λαβεῖν, παλιν το αὐτο τοῦτο ὑπομενουσιν· ἡ γαρ ἐξηπατηθησαν ἀπορον ἀντ' εὐπορου λαβοντες· ἡ και πλουσιαν εἰσαγαγοντες, και μυριῶν γεμουσαν ἐλαττωματων, πλειονα παλιν την ζημιαν ὑπεμειναν· οὐ γαρ ἡ περιουσια, ἀλλ' ἡ ἀρετη τον πλοῦτον ἐργαζεται· τι γαρ ὀφελος τοῦ πλουτου ὁταν δαπανηρα ἦ και ἀσωτος, και παντα ἀνεμου σφοδροτερον εκφορῇ; τι δε ἀν ἀσελγης και μυριους ἐραστας ἐφελκη-

ται; τι δε ἀν μεθυσος; οὐ παντων ταχεως πενεστερον τον ἀνδρα ἐργασηται; οὐ γαμοῦσι δε μονον, ἀλλα και ὠνοῦνται ἐπισφαλῶς, ἀπο τῆς ἐπιθυμιας τῆς πολλῆς ὀυ τα σπουδαῖα τῶν ἀνδραποδων; ἀλλα τα ἐυωνα περιεργαζομενοι· ταῦτ' οὖν ἀπαντα ἀναλογισαμενοι· τῶν γαρ περι τῆς γεεννης και τῆς βασιλειας οὐδεπω λογων ακουειν δυνασθε· και τας ζημιας ἐννοησαντες ἀς ὑπεμεινατε πολλακις ὑπο τῆς φιλοχρηματιας· και ἐν δανεισμασι, και εν ὠνιοις, και ἐν γαμοις, και ἐν προστασιαις, και ἐν τοῖς ἀλλοις ἀπασιν, αποστητε τῶν χρηματων ἐρᾶν, οὑτω γαρ δυνησεσθε και τον παροντα βιον μετα ασφαλειας ζῆν, και μικρον ἐπιδοντες, και τῶν περι φιλοσοφιας ἀκοῦσαι λογων, και μικρον διαβλεποντες εἰς αὐτον τῆς δικαιοσυνης ἰδεῖν τον ἡλιον, και τῶν ἐπηγγελμενων παρ ἀυτον ἐπιτυχεῖν· ὧν γενοιτο παντας ἡμᾶς μετασχεῖν, χαριτι και φιλανθρωπια τοῦ κυριου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δυξα και το κρατος ἐις τους αἰῶνας τῶν ἀιωνων, ἀμην.

IN
LUXUM CALCEORUM

Και οἶδα μεν ὅτι πολλοῖς σμικρολογος εἶναι δοκῶ ταῦτα περιεργαζομενος· οὐ μην δια τοῦτο αποστησομαι· το γαρ παντων αἰτιον τῶν κακῶν τουτο, και το και μικρα ταῦτα δοκεῖν εἶναι τα ἁμαρτηματα, και δια τοῦτο ἀμελεῖσθαι και τι τουτου, φησιν, εὐτελεστερον ἁμαρτημα γενοιτ᾽ ἀν. κεκαλλωπισμενον ἔχειν ὑποδημα και ἀποστιλβον, και τῷ ποδι προσηρμοσμενον; εἰγε και ἁμαρτημα τοῦτο καλεῖν δοκεῖ· βουλεσθε οὖν ἐπαφησω την γλῶτταν αὐτῷ, και δειξω την ἀσχημοσυνην ὅση. και οὐκ ὀργιεῖσθε; μᾶλλον δε καν ὀργιζησθε, οὐ πολυς μοι λογος· και γαρ ὑμεῖς αἰτιοι τῆς ἀνοιας ταυτης, οἱ μηδε ἁμαρτημα εἶναι νομιζοντες, και ἐντευθεν ἡμᾶς ἀναγκαζοντες εἰς την κατηγοριαν τῆς ασωτιας ἐμβῆναι ταυτης. Φερε οὖν αὐτο ἐξετασωμεν, και ἴδωμεν ὁποῖον ἐστι κακον· ὅταν γαρ τα νηματα τα σηρικα, ἁ μηδε ἐν ἱματιοις ὑφαινεσθαι καλον, ταῦτα ἐν ὑποδημασι διαρραπτητε, ποσης ὑβρεως, ποσου γελωτος ταυ

τα ἀξια, ἐι δε ἡμετερας ψηφου καταφρονεῖς, ἀκουσον τῆς του Παυλου φωνῆς μετα πολλῆς τῆς σφοδροτητος ταῦτα απαγορευοντος, και τοτε ἀισθηση του γελωτος· τι οὖν ἐκεῖνος φησι; μη ἐν πλεγμασιν, ἢ χρυσῷ. ἢ μαργαριταις, ἢ ἱματισμῷ πολυτελεῖ· τινος οὖν ἂν εἰης συγγναμης ἀξιος. ὁταν τῇ γεγαμημενῃ μη ἐπιτρεποντος Παυλου πολυτελῆ ἱματια ἐχειν, συ και ἐπι τὰ ὑποδηματα την βλακειαν ταυτην ἐξαγγῃς, και μυρια κατασκευαζης ὑπερ τοῦ καταγελαστου ὑβρεως; και γαρ και ναῦς πηγνυται και ἐρεται καταλεγονται, και πρωρευς, και κυβερνητης, και ἱστιον ἀναπετανυυται, και πελαγος πλεῖται· και γυναικα, και παιδια, και πατριδας ἀφεις. και την ἑαυτοῦ ψυχην ὁ ἐμπορος ἐκδιδωσι κυμασι, και εἰς την τῶν βαρβαρων ἀπερχεται χωραν, και μυριους ὑπομενει κινδυνους δια ταῦτα τα νηματα, ἱνα συ μετα παντα ἐκεῖνα λαβων ἐπι τῶν ὑποδηματων διαρραψης και το δερμα καλλωπισης· και τι ταυτης της ἀλογιας χεῖρον γενοιτ' ἂν; αλλ' οὐ τα παλαια τοιαῦτα. αλλ' ἀνδρασι πρεποντα· ὁθεν ἐγωγε προσδοκῶ, χρονου προιοντος τους νεους τους παρ' ὑμῖν και γυναικων ὑποδηματα σχησειν,

και οὐκ αἰσχυνεσθαι, και το χαλεπωτερον· ὁτι δι πατερες ταῦτα ὁρῶντες οὐκ ἀγανακτοῦσιν, ἀλλα και ἀδιαφορον το πρᾶγμα εἶναι νομιζουσι· βουλεσθε ειπω και το ἐτι χαλεπωτερον; ὁτι και πενητων ὀντων πολλῶν ταῦτα γινεται βουλεσθε εἰς μεσον ἀγαγω τον Χριστον τον λιμωττοντα; τον γυμνον; τον ἀλωμενον πανταχοῦ; τον δεδεμενον; και ποσων οὐκ ἀν ειητε σκηπτων ἀξιοι; ἐκεῖνον μεν τροφῆς ἀναγκαιας ἀπορουντα περιορῶντες, τα δερματα δε μετα πολλῆς καλλωπιζοντες τῆς σπουδῆς, και αὐτος μεν ἡνικα τοῖς μαθηταῖς ἐνομοθετει, οὐδε ἁπλῶς ὑποδηματα ἐχειν ἐπετρεπεν ἡμεῖς δε οὐ μονον γυμνοῖς ποσιν οὐκ ἀνεχομεθα βαδιζειν, ἀλλ' οὐδὲ ὑποδεδεμενοις ὡς ὑποδεδεσθαι δεῖ· τι τοινυν τῆς ἀκοσμιας ταυτης χεῖρον γενοιτ' ἀν; τι τοῦ γελωτος; και γαρ ψυχῆς εστι μαλακωδοις· Το πρᾶγμα, και ἀπηνοῦς και ωμῆς, και περιεργου και ματαιοπονον ποτε γαρ δυνησεται ἀναγκαιῳ τινι προσεχειν, ὁ περι ταῦτα τα περιττα ησχολημενος; ποτε ἀνεξεται ὁ τοιοῦτος νεος ψυχῆς ἐπιμελησασθαι, ἡ ἐννοῆσαι ὁτι κἀν ψυχην ἐχῃ; και γαρ σμικρολογος ἐσται ὁ τα τοιαῦτα θαυμαζειν ἀναγκαζομενος, και ὠμος ὁ

δια ταῦτα τῶν πταχῶν ἀμελῶν· και ἀρετῆς ἐρημος ὁ πᾶσαν ἐις ταῦτα καταναλισκων την σπουδην· ὁ γαρ νηματων ἀρετην, και χρωματων ἀνθος, και τους κισσους· τους ἀπο τῶν τοιουτων ὑφασματων περιεργαζομενος, ποτε ἐις τον οὐρανον δυνησεται ἰδεῖν; ποτε το ἐκεῖ θαυμοσεται καλλος, ὁ προς καλλος ἐπτοημενος δερματων και χαμαι κυπτων; και ὁ μεν θεος ἐπεινεν οὐρανον. και ηλιον ἀνῆψεν, ἀνω σου τας ὀψεις ἑλκων· συ δε κατω σαυτον και προς γῆν κατα τους χοιρους νευειν ἀναγκαζεις. και τῷ διαβολῳ πειθῃ· και γαρ ὁ πονηρος δαιμων οὗτος ταυτην ἐπενοησε την ἀσχημοσυνην, ἐκεῖνου σε τῶν καλλους ἀπαγων, δια τοῦτο ἐνταῦθα ἑιλκυσε. και παρευδοκιμεῖται θεος οὐρανον δεικνυς ὑπο διαβολου δερματα δεικνυντος· μᾶλλον δε οὐδε δερματα. και γαρ ταῦτα ἐργα θεοῦ· αλλα βλακειαν και κακοτεχνιαν· και κατω εἰς την γῆν νευων, ὁ νεος περιεισιν, ὁ τα εν τοῖς οὐρανοῖς φιλοσοφεῖν κελευσθεις, μᾶλλον εγκαλλαπιζομενος τουτοις, ἡ ἑι τῶν μεγαλων τι κατορθωκως ἦν, και ἀκροβατῶν ἐπι τῆς ἀγορᾶς, και λυπας και αθυμιας ἐντεῦθεν τικτων εαυτῷ περιττας· μη μολυνῃ τῷ πηλῳ χειμῶνος

ὄντος, μὴ καλύψῃ τῷ κονιορτῷ θέρους ἐπισταντος, τι λεγεις, ἀνθρωπε; την ψυχην ἁπασαν εἰς πηλον ἐρριψας δια ταυτης της ἀσωτιας, και χαμαὶ συρομενην περιορᾶς, και περι ὑποδηματων τοσουτον ἐχεις ἀγῶνα; μαθετην χρῆσιν αὐτῶν, και αἰδεσθητι την ψῆφον ἣν περι αὐτῶν φερεις· ὡστε γαρ πηλον πατεῖν και βορβορον, και πᾶσαν την ἐπι του ἐδαφους κηλῖδα· γεγονε τα ὑποδηματα· εἰ δε οὐκ ἀνεχῃ, λαβων ἐξαρτησον του τραχηλου, ἢ τῇ κεφαλῇ περιθες. Και ὑμεῖς μεν γελᾶτε ταυτα ἀκουοντες, ἐμοι δε δακρυειν ἐπεισι την τουτων μανιαν, και την περι ταῦτα σπουδην· και γαρ ἀδυτερον ἂν οὗτοι το σῶμα μολυναιεν πηλῷ, ἢ τα δερματα ἐκεῖνα· μικρολογοι μεν οὖν οὕτω γινονται φιλοχρηματοι δε παλιν ἑτερως· ὁ γαρ περι τα τοιαῦτα μαινεσθαι και σπουδαζειν ἐθισθεις, και ἐν τοῖς ἱματιοις και ἐν τοῖς αλλοις ἁπασι πολλῆς δεῖται δαπανης, και πολλῆς της προσοδου· κἂν μεν φιλοτιμον ἐχῃ πατερα, μᾶλλον αἰχμαλωτος γινεται, την ἀτοπον ταυτην ἐπιτεινων ἐπιθυμιαν· ἂν δε σμικρολογον, ἀναγκαζεται ἑτερα ἀσχημονεῖν, ὡστε χρυσιον εἰσαγαγεῖν εἰς τας τοιαυτας δαπανας, ἐν-

τεῦθεν πολλοι τῶν νεων, και την ὡραν ἀπεδοντο, και παρασιτοι τοῖς εὐποροις ἐγενοντο, και ἑτερας δουλοπρεπεῖς ὑπεμειναν διακονιας, ἀντι τουτων ὠνουμενοι το τας τοιαυτας ἐπιθυμιας ἐκπληροῦν· ὁτι μεν οὖν και φιλοχρηματος οὗτος ἐσται και μικρολογος, και περι τα ἀναγκαῖα παντων ἀργοτερος, και πολλα ἀναγκασθησεται αμαρτανειν, δῆλον ἐν τουτων· ὁτι δε και ὠμος και κενοδοξος· οὐδε τοῦτο τις ἀντερεῖ· ωμος μεν όταν πενητα ἰδων, τῷ ποθῳ τοῦ καλλωπισμοῦ, μηδε ἑωρακεναι δοκῆ· ἀλλα ταῦτα μεν χρυσῷ καλλωπιζει, εκεινον δε ὑπο λιμοῦ διαφθειρομενον περιορᾷ· κενοδοξος δε; όταν και ἐν τοῖς μικροῖς παιδευηται την παρα τῶν ὁρωντων δοξαν θηρᾶν: οὐ γαρ ὄυτως οἶμαι στρατηγον ἐπι τοῖς στρατοπεδοις και τροπαιοις μεγα φρονεῖν, ὡς ἀκολαστον νεον ἐπι τῷ καλλωπισμῷ τῶν ὑποδηματων. ἐπι τοῖς συρομενοις ἱματιοις, ἐπι τῇ κουρᾷ τῆς κεφαλῆς; καιτοιγε ταῦτα παντα τεχνιτῶν εργα ἐστιν ἑτερων, ει δε ἐπι τοῖς ἀλλοτριοις οὐκ ἀφισανται κενοδοξοῦντες, ποτε ἐπι τοῖς ἰδιοις ἀποστησονται; εἰπω και ἑτερα τουτων χαλεπωτερα, ἢ και ταῦτα ὑμιν ἀποχρη· οὐκ οὖν ἀναγκη καταλῦσαι τον λογον ενταῦθα· ἐπει και

ταῦτα μοι εἴρηται δια τους φιλονεικους και οὐδεν ἀτοπον το πρᾶγμα εἶναι λεγοντας· οἶδα μεν ὁτι πολλοι τῶν νεων οὐδε προσεξουσι τοῖς λεγομενοις. μεθυοντες ἁπαξ τῷ παθει· οὐ μην δια τουτο σιγῆσαι ἐδει· οἱ γαρ νοῦν ἐχοντες πατερες και ὑγιαινοντες τεας. και ἀκοντας αὐτους εἰς την προσηκουσαν εὐσχημοσυνην ἐμβιβασαι δυνησονται· μη τοινυν λεγε, οὐδεν παρα τουτο. οὐδεν παρ' ἐκεινο· τουτο γαρ τουτο παντα ἀπωλεσεν. ἐδει γαρ και ἐνταῦθα αὐτους παιδευειν, και ἀπο τῶν δοκουντων εἶναι μικρῶν σεμνους ποιεῖν, μεγαλοψυχους κρειττους ισχηματων· οὑτω γαρ αὐτους και ἐν τοῖς μεγαλοις εὑρησαμεν δοκιμους· τι γαρ τῆς τῶν στοιχειων μαθησεως εὐτελεστερον; ἀλλ' ὁμως ἀπο τουτων και ῥητορες, και σοφισται, και φιλοσοφοι γινονται· καν ταυτα ἀγνοησωσιν, οὐδε ἐκεῖνα ποτε εἰσονται· ταῦτα δε ἡμῖν οὐ προς νεους μονον, αλλα και προς γυναικας, και κορας εἰρηται· και γαρ και αὗται τοῖς τοιουτοις εγκλημασιν ὑποκεινται, και πολλῳ μᾶλλον ὁσῳ παρθενῳ κοσμιοτης ἐπιτηδειον· τα τοινυν προς εκεινους εἰρημενα και προς ὑμας εἰρῆσθαι νομιζετε, ἱνα μη παλιν ταὐτα ἀναλαβωμεν.

QUANTUM MALUM SIT INVIDIA.

Τοιοῦτον ἡ βασχανια, ἧς οὐκ ἀν γενοιτο κακια χειρων· ὁ μεν γαρ μοιχος καν ἡδονην καρποῦται τινα, και ἐν βραχεῖ χρονῳ την ἁμαρτιαν ἀπαρτιζει την ἑαυτοῦ· ὁ δε βασχανος προ τοῦ φθονουμενου ἑαυτον κολαζει και τιμωρεῖται, και οὐδεποτε παυεται τῆς ἁμαρτιας. αλλ' ἐν τῷ πραττειν αὐτην εστι διηνεκῶς· καθαπερ γαρ χοῖρος βορβόρῳ και δαιμονες βλαβη τῇ ἡμετερᾳ· οὑτω και οὗτος τοῖς τοῦ πλησιον χαιρει κακῶς· καν γενηται τι ἀηδες, τοτε ἀναπαυεται και ἀναπνεῖ, τας ἀλλοτριας συμφορας οἰκειας ἐυθυμιας ἡγουμενος, και οἰκεῖα κακα τα τῶν ἀλλων ἀγαθα και οὐ σκοπεῖ τι ἀν αὐτῷ γενοιτο ἡδυ, ἀλλα τι τῷ πλησιον λυπηρον· τουτους οὖν οὐ καταλευειν και ἀποτυμπανιζειν ἀξιον, ὡς κυνας λυττῶντας, ὡς δαιμονας ἀλαστορας, ὡς αὐτας τας ἐριννῦς; καθαπερ γαρ οἱ κανθαροι τρεφονται τῇ κοπρῳ, οὑτω και οὗτοι ταῖς ετέρων δυσημεριαις, κοινο τινες ἐχτροι και πολεμιοι τῆς φυσεως ὀντες· και οἱ μεν ἀλλοι

ἀλογον σφαττομενον ἐλεοῦσι, συ δε ανθρωπον ὁρῶν ἐυεργετουμενον, εκτηριοῦσαι, και τρεμεις, και ὠχριᾶς; και τι ταυτῆς τῆς μανιας χεῖρον γενοιτ᾽ ἀν; δια τοι τοῦτο πορνοι μεν και τελῶναι ἐις βασιλειαν ἠδυνηθησαν εἰσελθεῖν· οἱ δε βασκανοι ἐνδον οντες, ἐξεβληθησαν· δι γαρ ὑιοι τῆς βασιλειας, φησι, ἐξω βληθησονται, κακεῖνοι μεν τῆς ἐν χερσιν ἀπαλλαγεντες πονηριας, ὧν οὐδεποτε προσεδοκησαν ἐπετυχον· οὗτοι δε και ἃ εἶχον ἀγαθα ἀπωλεσαν, και μαλα ἐικοτως· τοῦτο γαρ διαβολον ἐξ ανθρωπου ποιεῖ· τοῦτο δαιμονα ἀγριον ἀπεργαζεται· οὑτως ὁ πρῶτος φονος ἐγενετο· οὑτως ἡ φυσις ἠγνοηθη· οὑτως ἡ γῆ ἐμολυνθη· οὑτω μετα ταῦτα το στομα ἀνοιξασα ἡ γῆ ζῶντας ὑπεδεξατο και ἀπωλεσε τους περι Δαθαν, και Κορε, και Αβειρων, και τον δῆμον ἐκεῖνον ἀπαντα· ἀλλα το μεν κατηγορεῖν βασκανιας, ἐιποι τις ἀν, ῥαδιον εἶναι, δεῖ δε ειπεῖν και οπως ἀπαλλαγησονται τοῦ νοσηματος· πῶς οὖν ἀπαλλαγησομεθα τῆς πονηριας ταυτης; ἀν ἐννοησωμεν ὁτι ωσπερ τῷ πεπορνευκοτι οὐ τεμις εἰσελθεῖν εἰς την ἐκκλησιαν, οὑτως οὐδε τῷ βασκαινοντι· και πολλῷ μαλλον τουτῳ ἠ ἐκεῖνῳ· νῦν μεν γαρ και

ἀδιαφορον εἶναι δοκεῖ· διο και ἠμεληται· ἀν δε φανερον γενηται πονηρον ὀν· ἀποστησομεθα ῥαδιως· κλαῦσον τοινυν και στεναξον· θρηνησον και παρακαλεσον τον θεον μαθε ὡς περι ἁμαρτηματος χαλεποῦ διακεῖσθαι σε και μετανοει· καν οὑτῳ διατεθῆς, ταχεως ἀπαλλαγησῃ τοῦ νοσηματος· και τις ἀγνοεῖ; φησιν. ὁτι πονηρον ἡ βασκανια; αγνοεῖ μεν οὐδεις· οὐ μην την αὐτην περι πονειας και μοιτουχειας ἐχουσι δοξαν, και περι τοῦ πατους τουτου· ποτε γοῦν ἑαυτου τις κατεγνω πικρῶς βασκηνας; ποτε θεον ἐξιωσεν ὑπερ τουτου τοῦ νοσηματος ὡστε γενεσθαι αὐτῷ ἰλεων; οὐδεις οὐδεποτε· αλλ' ἑι νηστευει, και πενητι δῷ μικρον ἀργυριον, κἀν μυριακις βασκανος ἦ, οὐδεν ἡγεῖται πεποιηκεναι δεινον, τῷ παντων μιαρωτερῳ κατεχομενος παθει· ποθεν γοῦν ὁ Καιν τοιοῦτος ἐγενετο; ποθεν ὁ Ησαῦ; ποθεν οἱ τοῦ Λαβαν παῖδες; ποθεν οἱ τοῦ Ιακωβ ὑιοι; ποθεν οἱ περι Κορε, και Δαθαν και 'Αβειρων; ποθεν Μαρια; ποθεν 'Ααρων; ποθεν αὐτος ὁ διαβολος.

EPIGRAMMATA SELECTA

VARIORUM AUCTORUM.

Ἐις ἈΓΩΝΑΣ Και ἈΓΩΝΙΣΤΑΣ.

Ἀρχιου ἐις τους τεσσαρας ἀγῶνας

Τεσσαρες ἐισιν ἀγῶνες ἀν Ἑλλαδα, τεσσαρες ἱεροι·
Οἱ δυο μεν, θνητῶν· οἱ δυο δἰ ἀθανατων
Ζηνος Λητοιδαο, Παλαιμονος, Αρχεμοροιο·
Ἀθλα δε τῶν κοτινος, μῆλα σελινα πιτυς·

Ἐις αμπελον
Φιλιππου

Τις σε παγος δυσερημος, ἀνηλιος, ἐξεθρεψεν;
Ἡ βορεου Σκυθιης, αμπελον ἀγριαδα,
Ἡ Κελτῶν νεφοβλητες α'ει κρυμαδεες Ἀλπεις,
Τῆς τε σιδηροτοκου βῶλος Ἰβηριαδος;

Ἠ τους ὀμφακοραγας ἐγειναο τους ἀπεπαντους

Βοτρυας, δι στυφελην εξεχεον σταγονα·

Διζημαι Λυκοεργε τεας χερας ὠ ἀπορίζης

Κληματος ὠμοτοκου, βλαστον ὁλον θερισης.

Ἐις ἀναθηματα

Λεονιδου.

Ουκ ἐμα ταυτα λαφυρα· τις ὁ θριγκοισιν ἀναψας

Ἀρηος, ταυταν ταν ἀχαριν χαριταν.

Ἀκλαστοι μεν κωνοι, ἀναιμακτοι δε γανωσαι·

Ἀσπιδες, ἀκλαστο δ' ἀι κλαδαραι καμακες.

Ἀιδοι παντα· προσαπ' ἐρυθαινομαι ἐκ δε μετωπου

Ιδρως πιδυων στηθος ἐπισταλαει

Παστάδα τις τοιοισδε, και ἀνδρειωνα, και α'υλαν

Κοσμειτω, και τον νυμφιδιον θαλαμον.

Ἀρευς δ' αἱματοεντα Διωξιπποιο λαφυρα

Νηον κοσμοιη τοις γαρ ἀρεσκομεθα.

'Εις ἀναπηρους
Φιλιππου,

Πηρος ὁ μεν, γυιοις, ὁ δ' αρ ὀμμασιν αμφοτεροι δε
'Εις αυτους πο τυχης ενδεες 'ηρανισαν
Τυφλος γαρ λιπογυιον επωμαδιον βαρος αἰρων,
Ταις κεινου φωναις ατραπον ὠρθοβατει.
Παντα δε ταυτ' εδιδαξε πικρη παιτολμος αναγκη,
'Αλληλοις μερισαι τουλλιπες εις ελεον.

'Εις ανδριαν, και ανδρειους,
Αδηλον, εις Λακαιναν.

Γυμνον ιδουσα Λακαινα παλιντροπον εκ πολεμοιο
Παιδ' εον ες πατραν ωκυν ιεντα ποδα
'Αντιη αιξασα δι' ηπατος ηλασελογχην,
'Αρρενα ρηξαμενη φθογγον επι κταμενῳ.
'Αλλοτριον Σπαρτας (ειπεν) γενος, ερρε ποθ' αδαν.
'Ερρε, επει εψευσω πατριδα και γενεταν

'Εις 'Ανταποδοσιν
Λεωνιδου Ταραντινου.

'Ιξαλος ευπωγων αιγος ποσις εν ποτ' αλωη

'Οινης τους ἀπαλους παντας ἐδαψεκλαδους,
Τῶ δ' ἐπος ἐκ γαιης τοσον ἀπυε, τειρε κακιστε
Γναθμοῖς ὑμετερον κλῆμα το καρποφορον.
Ριζα γαρ ἐμπεδος οὖσα, παλι γλυκυ κεκταρ ἀνησει
'Οσσον ἐπισπεῖσαι σοι, τραγε, θυομενῳ

'Εις 'Απειλην
Μουσικιου

'Ακυπρις μουσαισι κορασια ταν Αφροδιταν
Τιμᾶτ', ἤ τον ἐρων ὑμμιν ἐφοπλισομαι.
Χ' αι Μουσαι ποτι Κυπριν, Αρει τα σταμυλα ταῦτα.
Ημῖν δ' οὐ πεταται τοῦτο το παιδαριον.

'Εις ἀρετην
'Αδηλον

Ω Στωικῶν μυθων ἐιδημονες, ὦ παναριστα
Δογματα ταῖς ἱεραῖς ἐνθεμενοι σελισιν,
Ταν ἀρεταν, ψυχᾶς αγαθον μονον ἅδε γαρ ἀνδρῶν
Μουνα και βιοτον ῥυσατο και πολιας.

Σαρκος δ' ἡδυπαθημα φιλον τελος ἀνδρασιν ἀλλοις
'Η μια τῶν μνημης ηνυσε θυγατερων,

'Εις Ασωτους
Λουκιανου.

Τον πατρικον πλουτον νεος ον Θηρων ὁ Μενιππου
'Αισχρῶς ἐις ἀκρατεῖς ἐξεχεεν δαπάνας.
'Αλλα μιν 'Ευκτήμων πατρικος φιλος ὡς ἐνοησεν
'Ηδη καρφαλεη τειρομενον πενιῃ,
Και μιν δακρυχεων ἀνελαμβανε, και ποσιν αὐτον
Θῆκε θυγατρος εῆς, πολλ' ἐπιμειλια δους.
'Αυταρ ἐπει Θηρωνι παρ' ἐλπιδας ἤλυθε πλοῦτος,
'Αυτικα ταῖς αὐταῖς ἐτρεφετ' ἐν δαπαναις,
Γαστρι χαριζομενος πᾶσαν χαριν οὐ κατα κοσμον,
Τῆϑ' ὑπο την μικραν γαστερα μαργοσυνη.
Οὕτω μεν Θηρωνα το δευτερον ἀμφεκαλυψεν
Οὐλομενης πενιης κῦμα παλιῤῥοθιον.

Ευκτιμων δ' ἐδακρυε το δευτερον οὐκ ἐτι κεῖνον,

'Αλλα θυγατρος ἑῆς, προικα τε και θαλαμον.

'Εγνω δ' ὡς οὐκ ἐστι κακῶς κεχρημενον ἀνδρα

Τοῖς ἰδιοις. εἶναι πιστον ἐν ἀλλοτριοις.

'Εις 'αυλητας
Φιλιππου.

'Ιμερον 'υλησαντο πολυτρητων δια λωτῶν,

'Εῖπε λιγυφθογγω Φοιβος ἐπι Γλαφυρα.

Μαρσυη, ἐψευσω τεον εὑρεμα τους γαρ 'Αθηνης

'Αυλους ἐκ φρυγιης οὗτος ἐληισατο.

'Ει δε συ τοιουτοις ποτ' ἐνεπνεες, οὐκ ἀν Υαγνις

Την επι Μαιανδρω κλαῦσε δύσαυλον ἐριν.

'Εις Αυταρκειαν
Παρμενιωνος Μακεδονος

'Αρκεῖ μοι χλαινης λιτον σκεπας· οὐδε τραπεζαις

Δουλευσω, μουσεων ἀνθεα βοσκομενος.

Μισῶ πλοῦτον ἄγουν, κολακων τροφον· οὐδε παρ᾽ ὀφρην
Στησομαι, οἶδ᾽ ολιγης δαιτος ἐλευθεριην.

Εἰς τον ἀνθρωπικον βιον;

Ἀρχιου.

Θρηικας ἀινειτω τις, ὁτι στοναχευσι μεν ὗιας
Μητερος ἐκ κολπων προς φαος ἐρχομενους,
Ἐμπαλι δ᾽ ὀλβιζουσιν ὁσους ἀἶωνα λιποντας
Ἀπροιδης κηρῶν λατρις ἐμαρψε μορος.
Οἱ μεν γαρ ζωοντες, ἀει παντοῖα περῶσιν
Ἐς κακα, τι δε κακῶν εὗρον ἀκος φθιμενοι.

Εἰς Βρεφη.

Ἀρχιου.

Λυσιππης ὀνεογνος ἐπι κριμνοῦ παις ερπων,
Ἀστυνακτειης ἤρχετο δυσμορ[illegible]ης.
Ἡ δε μεθαδηγησεν, ἀποστερνων προφερουσα
Μαζον, τον λοιμοῦ λυτορα και θανατου.

'Εις Γαμον
'Απολλωνιδου.

Προς παιδων (ειπεν) γουναζομαι ἤν με θανουσαν
Στειλης, μη σπεισαις δευτερα φιλτρα γαμου
Ειπεν · ο δ' εις ετερην εσπουδασεν · αλλα φιλιννα
Διογενη ληθης τισατο και φθιμενη.
Νυκτι γαρ εν πρωτη θαλαμον σχασε μηνις αφυκτος,
'Ως μη λεκτρον ἰδεῖν δευτερον ἥελιον.

'Εις Γηρας και Γεροντας,
'Επιγουνου Θετταλου.

'Η παρος ευπεταλοισιν εν οινανθαις νεασασα,
Και πεταλων βοτρυων ραγα κομισσαμενη.
Νυν ουτω γραιουμαι · ιδ' ως χρονος οια δομαζει.
Και σταφυλη γηρας αισθανεται ρυτιδων.

'Εις Γραμματικους.

Παλλαδα εις την εαυτου γυναικα
'Ανδρομαχην

Μῆνιν τ' ουλομενην γαμετην ο ταλας γεγαμηκα,

Καὶ παρα τῆς τεχνης μηνιδος ἀρξαμενος.

'Ω μοι εγὼ πολυμηνις, εχων διχολωτον ἀναγκην,

Τεχνης γραμματικῆς, και γαμετῆς μαχιμης.

'Εις Γραφιδα,

Ημην ἀχρεῖον καλαμος φυτον· ἐκ γαρ ἐμεῖο

Οὐ συκ', οὐ μῆλον φυεται, οὐ σταφυλη.

'Αλλα μ' ἀνηρ ἐμυης 'Ελικωνιδα, λεπτα τορησας

χειλεα, και στεινὸν ῥοῦν ὀχετευσαμενος.

'Εκ δε τοῦ, εὖτε πιοιμι μελαν ποτ', ενθεος οἷα,

Πᾶν ἐπος ἀφθεγκτῳ τῳδε λεγω στοματι.

'Εις Γυναῖκας.

Παλλαδα.

'Οργη τοῦ Διος ἐστι γυνη, πυρος ἀντιδοθεῖσα,

Δῶρον ἀνιηρον, τοῦ πυρος ἀντιδοτον.

'Ανδρα γαρ ἐκκαιει τὴν φροντισιν, ἠδε μαραινει,

Και γῆρας προπετες τῇ νεοτητι φερει.

'Ουδ' ὁ ζεος ἀμεριμνος ἐχει χρυσοθροον Ηρην.

Πολλακι γουν ἀυτην ριψεν ἀπ ἀθανατων,

Περι και νεφεληνσι μετηορον: οἶδεν Ομηρος,

Και Δια συγγραψας τῇ γαμετῇ χολιον.

'Ουτως οὐδεποτ' ἐστι γυνη συμφωνος ἀκοιτῃ.

Οὐδε και ἐν χρυσεω μιγνυμενη δαπεδῳ.

'Εις Δενδρα

'Αντιπατρου.

'Ειν οδιην καρυην με παρερχομενως ἐφυτευσαν

Παισι λιθοβλητου παιγνιον εὐστοχιης.

Παντας δ' ἀκρεμονας τε και ἐυθαλεας δροδαμνους

Κεκλασμαι, πυκιναῖς χερμασι βαλλομενη.

Δενδρεσιν ἐυκαρποις οὐδεν πλεον· ἦ γαρ ἐγωγε

Δυσδαιμων ἐπ' εμην ὕβριν ἐκαρποφορουν;

'Εις δικαιοσυνην,

'Ιουλιανου ἀπο ὑπαρχων 'Αιγυπτιου.

'Ηθελε μεν βασιλευς σε βοηθοον ἐισετι πεμπτιον

'Αστεσι τειρομενοις δευομενων μεροπων.
Τιτιανε χρυσειε· συ δ' ἐν βιοτοιο γαλήνη
Πατριδα και κλῆρον σον προβεβουλας ἐχειν,
'Αυξαν σῶν προγονων κτερας ἐνδικον, ἀρχομεναν γαρ
Πλοῦτον ὅτι στυγεεις, συνθρονος οἶδε Δικη.

'Εις δικην, εν ὡ και ἐις προνοιαν, ἀδηλον

'Ασπιδ' 'Αχιλλῆος την 'Εκτορος αἷμα πινοῦσαν
Λαρτιαδης Δαναῶν εἷλε κακοκρισιη.
Ναυηγοῦ δε Θαλασσα κατεσπασε, και παρα τυμβον
Αἴαντος νηκτην ὡρμισεν, οὐκ Ἰθακη.

'Εις δυσπραγιαν, Φιλιππου.

'Εβρου Θρηικιου κρυμῷ πεπεδημενον ὕδωρ
Νηπιος ἐκβαινων, οὐκ ἐφογεν θανατον
'Ες ποταμον δ' ἤδη λαγαρουμενον ἴχνος ὀλισθων,
Κρυμῷ τους ἀπαλους αὐχενας ἀμφεκαρη.

Και το μεν εξεσυρη λοιπον δεμας · ἡ δε μενουσα

Οψις ἀναγκαιην εἶχε ταφου προφασιν.

Δυσμορος ᾗς ὠδῖνα διειλετο πῦρ τε και ὕδαρ

Ἀμφοτερων δε δοκῶν, οὐδενος εστιν ὅλος.

Εἰς Ἐλεον,

Φιλιππου.

Και τον ἀρουραῖον γυρητομον αὔλακα τεμνει

Μηροτυπεῖ κεντρω πειθομενη δαμαλις·

Και μετ' ἀροτροπονου ζευγλας παλι τῷ νεοθηλῷ

Γινομενη μοσχω, δευτερον ἄλγος εχει.

Μη θλιψης αὐτην ὁ γεωμορος · οὗτος ὁ βαιος

Μοσχος, ἐαν φεισε, σοι τρεφεται δαμαλις.

Εἰς ἐλπιδας,

Μακεδονιου ὑπατου.

Εἰ βιον εν μεροπεσσι τυχης παιζουσιν ἑταῖραι

Ἐλπιδες, αμβολαδην παντα χαριζομεναι.

Παιζομαι, ει βροτος ἐιμι · βροτος δ' εὖ οἶδα και αὐτος

Θνητος ἐων, δολιχαῖς δ' ἐλπισι παιζομενος,

'Αυτος ἑκοντι τε γηθα πλαναμενος· οὐδε γενοιμην
Εἰς κρισιν ἡμετερην πικρος 'Αριστοτελης.
Την γαρ Ανακρειοντος ενι πραπιδεσσι φυλασσω
Παρφασιην ὁτι δεῖ φροντιδα μη κατεχειν.

'Επαινοι,

ἀδηλον

Μουσαων 'Ελικωνιαδων ἀρχωμεθ' ἀειδειν,
'Εγραφε ποιμαινων (ὡς λογος) Ησιοδος.
Μηνῖν ἀειδε θεα, και, ἀνδρα μοι ἐννεπε μοῦσα,
Εἶπεν Ομηρειῳ Καλλιοπη στοματί.
Καμε δε δεῖ γραψαι τι προοιμιον· ἀλλα τι γραψω
Δευτερον, ἐκδιδοναι βιβλιον ἀρχομενος;
Μοῦσαι ὀλυμπιαδες, κοῦραι Διος, οὐκ ἀν ἐσωθην
Εἰ μη μοι Καῖσαρ χαλκον ἐδωκε Νερων.

Εἰς 'Ερωτα,

Μελεαγρου.

Τρισσαι μεν χαριτες, τρεις δε γλυκυπαρθενοι ὦραι.
Τρεις δε με θηλυμανεῖς οἰστροβολοῦσι ποθοι.

Ἡ γαρ τοι τρια τοξα κατηρυσεν, ὡς ἀρα μελλων
Οὐχι μιαν τρασειν, τρεις δ' εν ἐμοι κραδιας

Εἰς ἐυσεβειαν

Καρφιλλιδου·

Ιχθυας ἀγκιστρῳ τις ἀπ' ἠονος ευτριχι βαλλων,
Εἰλκυσε ναυηγου̃ κρᾶτα λιποτριχεα.
Οἰκτειρας δε νεκυν τον ἀσωματον, ἐξ ἀσιδηρου
Χειρος ἐπισκαπτων, λιτον ἐχωσε ταφον.
Εὗρε δε κευθομενον χρυσου̃ κτεαρ ἦ ῥα δικαιοις
Ἀιδρασιν ευσεβιης ουκ ἀπολωλεχαρις.

Εἰς εὐτυχιαν.

Ἀντιπατρου.

Ἠ' και ἐτ' εκ βρεφεος κοιμωμενη Ἀντιοδημις,
Πορφυρεων Παφιης νοσσις ἐπι κροκιδων.
Ἡ τακεραι̃ς λευσσοι̃σα κοραις μαλακωτερον ὑπνου,
Αυσιδ ις ἀλκυων τερπνον ἀθυρμα μεθης·
Ὑδατινους φορεουσα βραχιονας· ἡ μονη ὀστου̃ν

Οὐ λαχεν· (ἦν γαρ ὀλη τοὺν ταλαροισι γαλα)

Ἰταλιην ἠμειψεν, ινα πτολεμοιο και αἰχμῆς

Ἀμπαυση Ρωμην μαλθακινη χαριτι.

Εἰς ευχαριστους, και ἀχαριστους,

Αντιπατρου.

Ἀντιπατρος πεισαιι γενεθλιον ωπασε βιβλον

Μικρην. ἐν δε μιῆ νυκτι πονησαμενος.

Ἰλαος ἀλλα δεχοιτο, και αἰνησειεν ἀοιδον,

Ζευς μεγας ὡς ὀλιγῳ πειθομενος λιβανῳ.

Εἰς Ευχην.

Ιυολιου πολυαινου.

Ἐι και σευ πολυφχνος ἀει πιμπλησιν ἀκουας

Ἠφοβος.ἐυχομενων, ἡ χαρις εὐξαμενων,

Ζεῦ, Σιχεριης ἐφεπων ἱερον πεδον, ἀλλα και ἠμεων

Κλῦθι, και ἀψευδει νεῦσον ὑποσχεσιη,

Ηδη μοι ξενιης εἶναι περας, ἐν δε μεπατρη

Ζωειν τῶν δολιχῶν πάυσαμενας καματων.

Εἰς ἐκτρους,

Στατυλλιου φλακκου

Πενθιμον ηνικα πατρι Πολυξεινης Υμεναιω
'Ηνυσεν ὀγκιοτοῦ Πυῤῥος ὑπερθε ταφου,
'Ωδε πολυκλαυστοιο κομας λακισασα καρηνου
Κισσηις τεκεων κλαῦσε φονους 'Εκαβη.
Προσθε μεν ἀξονιοις φθιτον εἰρυσας Εκτορα δεσμοῖς.
Νῦν δε Πολυξεινης αἷμα δεχηφθιμενος
Αἰακιδη· τι τοσοῦτον ἐμην ὠδυσσαο νηδυν;
Παισιν ἐφυς γαρ ἐμοῖς ηπιος οὐδε νεκυς.

Εἰς Ζωα,

Πολυαινου.

Δορκαδος ἀρτιτοκοιο τιθηνητηριον οὖθαρ
Εμπλεον εἰδοῦσα πικρος ἐτυψεν εχεις
Νεβρος δ' ἰομιγῆ θηλην σπασε, και το δυσαλθες
Τραυματος ἐξ ολοοῦ πικρον ἐβραξε γαλα.
'Αδην δ' ηλλαξαντο, και αυτικα νηλει μοιρη,
'Ην ἐπορεν γαστηρ, μαστος ἀφεῖλε χαριν.

Ε'ς Ζηνα,

'Αντιπατρου Θετταλου.

Τρις δεκα με πνευσειν και δις τρια μαντιες ἀστρων
Φασιν ἐμοι δ' ἀρκεῖ και δεκας ἡ τριτατη.
Τοῦτο γαρ ἀνθρωποις βιοτῆς ὁρος· οἱ δ' ἐπι τουτοις,
Νεστορι, και Νεσταρ δ' ἤλυθεν εἰς ἀιδην.

Ε'ς ηχω.

Αρχιου.

Εὐφημος γλωσση παραμειβευταν λαλον ἠχω,
Κοὐ λαλον· ἤν τι κλυῶ, τοῦτ' ἀπαμειβομεναν
Ε'ς σε γαρ ὃν συ λεγεις, στρεψω λογον ἢν δε σιωπᾶς.
Σιγησεω· τις ἐμοῦ γλῶσσα δικαιοτερη;

Εἰς Θαλασσαν

Κριναγορου.

Λαπος ἀποκλυζουσα παρα κροκαλησι Θαλασσης.
Χερνῆτις, διεροῦ τυτθον ὑπερθε παγου.,
Χερσον ἐπεκβαινοντι κατασπασθεῖσα κλυδωνι,

Λειλαιη πικρου κυμ' επιεν θανατου
Πνευμα δ' ομου πενιη απελυσατο · τις κ' ενι νηι
Θαρσησαι πεζοις την αφυλακτον αλα;

Εἰς θανατον και εἰς θανοντας,
'Αγαθιου.

Τον θανατον τι φοβεισθε; της ησυχιης γενετηρα;
Τον παυοντα νοσους και πενιης οδυνας;
Μουνος απαξ θνητοις παραγιγνεται, ουδε ποτ' αυτον,
Ειδεν τις θνητων δευτερον ερχομενον;
'Αι δε νοσοι, πολλαι και ποικιλαι, αλλοτ' επ' αλλον
Ερχομεναι θνητων, και μεταβαλλομεναι.

Εἰς Θεους
'Αντιπατρου

Ευκολος 'Ερμειας, ω ποιμενες, εν δε γαλακτι
Χαιρων και δρυινω σπενδομενος μελιτι.
'Αλλ' ουχ Ηρακλεης · ενα δε κτιλον, η παχυν αρνα
Αιτει. και παντως εν θυος εκλεγεται·
'Αλλα λυκους ειργει · τι δε το πλεον; ει το φυλαχθεν
'Ολλυται, ειτε λυκοις, ειθ' υπο του φυλακος;

Εἰς Ιατρους.

Νικομηδους, εἰς ἱπποκρατην.

Ιπποκρατης φαος ἠν μεροπων, και σαὲτο λαῶν

'Εθνεὰ, καὶ νεκυων ἦν σπανις εἰν αἰδη.

'Αντιστρεφον.

Εἰν αἰδη σπανις ἦν νεκυων, και εθνεὰ λαῶν

Σαετο, και μεροπων ἦν φαος Ιπποκρατης.

Εἰς Ιχθυας,

'Αντιπατρου Θετταλοῦ.

Πουλυπος εἰναλιη ποτ' ἐπι προβλῆτι θανυσθεις,

'Ηελιω ψυχειν πολλον ἀνῆκε ποδα.

Οὐπω δ' ῆν πετρη ἰκελος χροα, τουνεκα καιμιν

Αἰετος ἐκ νεφεων ὀξυς ἐμαρψεν ἰδων.

Πλοχμοῖς δ' ἑλιχθεις πεσεν εἰς ἀλα δυσμορος· ἦρα

'Αμφω και θηρης ημβροτε και βιοτοῦ.

Εἰς; Καλλος.

'Αντιπατρου.

Βουκολος ἐπλεο φοῖβε· Ποσειδαων δε, καβαλλης,

Κυκνος, Ζευς· 'Αμμαν δ', ἀμφιβοητος ὀφις.

Χοἰ μεν. επ' ἠιθεας, συ δε, παιδικος, ὀφρα λαθοιτε.

'Εστε γαρ οὐ πειϑοῦς, εὔνεται, ἀλλα βιης

Ευαγορας δ' ων καλος, ἀτερ δολου αὐτος ἁλισκει

Παντας, και πασας, οὐ μεταβαλλομενος.

Εἰς Κολακας

Βισαντινου.

Εἰτις ἀνηρ ἀρχων ἐϑελει κολακων ἀνεχεσϑαι.

Πολλους ἐκδωσει τοῖς μιαροῖς στομασιν.

Ω'στε χρη τον ἀριστον ἀπεχϑαιροντα δικαιως,

'Ως κολακας, μισεῖν τους κολακευομενους.

Εἰς Κριτας.

Παλλαδα.

Οὐδεις και καϑαρος και μειλιχος ἠλυϑεν ἀρχων.

'Εν γαρ ἑνος δοκεει δογματος ἀντιπαλον.

Το γλυκυ, τοῦ κλεπτοντος· ὑπερφιαλου δε, το ἁγνον

'Οργανα τῆς ἀρετῆς ταῦτα δὐ ἐστι παϑη.

'Εις λογογραφιαν, ητοι
Εποποιαν,
Παρμενιανος.

Φημι πολυστιχιην επιγραμματος ου κατα μουσας
Ειναι, μη ζητειτ' εν σταδιω δολιχυν,
Πολλ' ανακυκλειται δολιχου δρομος· εν, σταδιαδε
Οξυς ελαυνομειος, πνευματος εστι τονος.

Εις μαινομενους

Κοινη παρκλισιη ληθαργικος ηδε φρενοπληξ
Κειμενοι, αλληλων νουσον απεσκεδασαν.
'Εξετορε κλινης γαρ ο τολμηεις· υπο λυσσης,
Και τον αναισθητον παντος ετυπτε μελους
Πληγαι δ' αμφοτεροις εγενοντ' ακος· αις ο μεν αυτε
Εργετο, του δ' υπνου πουλυς εριψε κοπος.

Εις μαθηματα
'Αντιπατρου εις 'Αρατον

Γραμμα το δ' Αρητοιο δαημονος, ος ποτε λεπτη
Φροντιδι δηναιους αστερας εφρασατο,

Απλανεας τ' αμφω και αλημονας, οἷσιν εναργης

'Αλλομενος κυκλοις ούρανος ενδεδεται.

Αἰνεσθω δε καμων εργον μεγα, και Διος εἶναι

Δευτερος, όστις ἔθηκ' άστρα φαεινοτερα.

Eἰς Μετην,

'Αντιπατρου.

Μηδ' ότ' ἐπ' αγκυρη ολοη πιστευε θαλασση

Ναυτιλε, μηδ' ούτω πεισματα χερσος εχει.

Και γαρ 'Ιων όρμῳ ενι καππεσεν· ἐς δε κολυμβον

Ναυτου τας ταχινας οἶνος ἔδησε χερας·

Φευγε χοροιτυπιην ἐπινηιον· ἐχθρος ἰακχῳ

Ποντος· τυρσηνοι τουτον εθεντο νομον.

Eἰς Μετριοτητα,

Βασσου.

Μητε με χειματι ποντος αγοι θρασυς, ούδε γαληνην

'Αργην ήσπασαμην την πολυηνεμιην,

Aἱ μεσοτητες άρισται· όπη δε γε πρηξιες άνδρων,

Και μαλα πετρον ἐγω ταρκιον ησπασαμην.

Τουτ' αγαπα φιλε Λαμπι, κακας δε' εχθαιρε θυελλας

Εισι τινες πρηεις και βιοτου ζεφυροι.

Εις Μισος,

'Αδηλον.

Ευστεφιος μ' εδαμασεν ὁμου και πρωιος ὑπνος,

Ὁς μεν, επιβαισας· ὁς δε με μη καλεσας.

'Ων εξ αμφοτερων, ὁ μαν εῤῥετω, ὁς δε παρειη

'Ιλαος, ὡραων μετρον επισταμενος.

Εις Μητρυιαν,

Καλλιμαχου.

Στηλην μητρυιης, μικρον λιθον, εστεφε κουρος,

'Ως βιον, ἠλλαχθαι και τροπον διομενος.

'Η δε, ταφω κλινθεισα, κατεκτανε παιδα πεσουσα.

Φευγετε μητρυης και ταφον, οἱ προγονοι.

Εις Μεμφιν,

'Αντιφιλου.

'Ηγραυς 'Ευβουλη, ὁτε οι καταθυμιον ην τι,

Φοιβου τον προποδων μαντιν' αειρε λιθον,

Χειρεσι πειραζουσα · και ἦν βαρυς ἡνικα μητι
Ηϑελεν · ἐι δ' ἐϑελοι, κουφοτερος πεταλων.
Αὐτη δε πρησσουσα το οἱ φιλον, ἣν ποϑ' αμαρτοι
Φοιβῳ τας ἀνισους χεῖρας ἐπεγραφετο.

Εἰς Ναους,
Αντιπατρου.

Και κραναᾶς Βαβυλῶνος ἐπιδρομον ἁρμασι τεῖχος,
Και τον ἐπ' Ἀλφειῷ Ζῆνα κατηυγασαμην,
Κήπων τ' ἀιωρημα, και ἠελιοιο κολοσσον,
Και μεγαν αἰπειναν πυραμιδων καματον,
Μναμα τε Μαυσωλοιο πελωριον · ἀλλ' ὅτ' ἐσειδον
Ἀρτεμιδος νεφεων ἀχρι ϑεοντα δομον,
Κεῖνα μεν ἠμαυρωτο τε, κἠν ἰδε νοσφιν Ολυμπου
Ἀλιος, οὐδεν πωτοῖον ἐπαυγασατο.

Εἰς Ναυαγιον,
Ζωσιμου θασιου.

Οὐ μονον ὑσμινησι και ἐν στονοεντι κυδοιμῷ
Ρυομ' ἀρειτολμου ϑυμον Ἀναξιμενους,

'Αλλα και ἐκ ποντου, ὁποτ' εσχισε νῆα θαλασσα,
'Ασπις, ἐφ' ἡμετερης νηξαμενον σανιδος.
Είμι δε κὴν πελαγει και ἐπι χθονος ἐλπις ἐκεινω,
Τον θρασυν ἐκ διπλῶν ῥυσαμενη θανατων.

Εἰς Ναυτιλιαν,
'Αντιπατρου.

Γειαροτης 'Αρχιππος ὁτ ἐκ νουσοιο βαρειης
'Αρτι λιποψυχεων ἐῤῥεεν ἐις ἀιδην,
Εἶπε ταδ' υἱεσσιν, ὦ φιλα τεκνα μακελλαν
Και τον ἀρυτρητην στερξατε μοι βιοτον.
Μη σφαλαρῆς αινεῖ τε πονον στενοεντα θαλασσης,
Και βαρυν ἀτηρῆς ναυτελιης καματον.
'Οσσον Μητρυιῆ γλυκερωτερη ἐπλετο μητηρ,
Τοσσον ἁλος πολιῆς γαῖα ποθεινοτερη.

Εἰς νηας,
Ζηλωτου.

'Ες τι πιτυν πελαγει πιστευετε γομφωτῆρες,
'Ης πολυς ἐξορεων ῥιζαν ἐλυσε νοτος;
Αἰσιον ουκ ἐσομαι ποντου σκαφος, εχθρον ἀηταις,

Δενδρεον· ἐν χερσῳ τος ἀλος οἶδα τυχας.

Εἰς Νησους.

Ἀπολλωνιδου.

Ἐιθε με παντοιοισιν ετι πλαζεσθαι ἀηταις,
Ἡ Λητοῖ στῆναι μαῖαν ἀλωομενη.
Οὐκ αν χητοσυνην τοσον ἐστενον· οἵ ἐμε δειλην,
Ὀσσαις ἑλληνων νησοι παραπλεομαι,
Δῆλος ἐρημαιη, το παλαι σεβας, ὀψὲ τη Ηρη
Λητοῦς, ἀλλ' οἰκτρην τηνδ' επεθηκε δικην.

Εἰς οἰνον,

Αντιπατρου.

Ὑδατος ἀκρητου κεκορημενῳ ἀγχι παρασταs
χθιζον ἐμοι κοτεων Βακχος ἐλευξε ταδε,
Ἐνδεις ἀξιον ὑπνον ἀπεχθομενων Ἀφροδιτη.
Εἰπε μοι ῶ νηφων, πενθεαι Ιππολυτου;
Ταρβει μη τι παθης εναλιγχιον· ὡς ὁ μεν ειπων
Ὠχετ'· εμοι δ' απο της οὐκ ἔτι τερπνον ὑδωρ.

'Εις ορνις,
Αργενταριου.

Μηκετι νῦν μινυριζε παρα δρυι, μηκετι φωνει
Κλωνος επ' ακροτατου κοσσυφε κεκλιμενος.
'Εχθρον σοι τοδε δενδρον· ἐπειγεο δ' αμπελος ἐνθα
'Αντελλει γλαυκῶν συσκιος ἐκ πεταλῶν.
Κοινης ταρσον ἔρεισον ἐπι κλαδον ἀμφι τε κεινη
Μελπε, λογυν πρηχεων ἐκ στοματος κελαδον,
Δρῦι γαρ ἐπ' ἀρνιθεσσι φερει τον ἀναρσιον ἰξον,
'Η δε βοτρυν· στεργει δ' ὑμνοπολους βρομιος.

Εἰς παραμυτιαν,
Παλλαδα.

Εσθιε, πῖνε, μυσας ἐπι πενθεσιν· οὐ γαρ εοικε
Γαστερι πενθῆσαι, νεκρον Ομηρος ἐφη·
Και γαρ ὁμοῦ θαψασαν ὀλωλοτα δωδεκα τεκνα
Σιτου μνησαμενην την Νιοβην παραγει.

Εἰς πατριδα,
Παλλαδα.

'Ως οὐδεν γλυκιον γε ἧς πατριδος, εἶπεν Ομηρος,

'Ἐν γαρ τοῖς Κιρκης ἐκχυτον οὐκ ἐφαγεν.
Οὐ μονον, εἰ και καπνόν ἀποθρωσκον τ' ἐνοησεν,
Εἶπεν ἀν οιμαζειν και δεκα Πηνελοπας.

Εἰς πηγας,
'Απολλωνιδου.

'Ηκαθαρη (νυμφαι γαρ ἐπωνυμον ἐξοχον ἀλλων
Κρηνη πασκαν δακαν ἐμοι λιβαδαν)
Ληιστης ὅτ' εμοι παρακλιντορας ἐκτανεν ἀνδρας,
Και φοινιην ιεροις ὑδασι λοῦσε χερα,
Κεῖνον αναστρεψασα γλυκυν ῥοον, οὐκ ἐθ' ὁδιταις
Βλυζω· τις γαρ ἐρεῖ την καθαρην ἐτι με;

Εἰς πλουτουντας,
Αδηλον.

'Ην νεος, ἀλλα πενης· νῦν γηρῶν, πλουσιος ἐιμι.
'Ω μονος ἐκ παντων οἰκτρος ἐν ἀμφοτεροις
'Ος τοτε μεν χρῆσθαι δυναμην ὁ ποτ' ουδεεν εἶχον.
Νυν δ' οποτε χρῆσθαι μη δυναμαι τοτ' ἐχω.

Εἰς ποιητας.

Λεωνιδου Ταραντινου εἰς Ομηρον.

'Αστρα μεν ἠμαυρωσε, και ἱερα κυκλα σεληνης.

'Αξονα δινησας εμπυρος ἠελιος.

'Υμνοπολους δ' ἀγεληδον ἀπημαλδυνεν Ομηρος,

Λαμπροτατον μ υσων, φεγγος ἀνασχομενος.

Εἰς ποιμενας,

Γλαυκου

Νυμφαι πενθομενῳ φρασατ' ἀτρεκες, εἰς παροδεκαν

Δαφνις τας λευκας ὧδ' ανεπαυσ, ἐριφους;

Ναι ναι Παν συρικτα και εἰς ἀιγειρον ἐκειναν

Σοι τε κατα φλοιου γραμμ ἐκολαψε λεγειν;

Παν παν προς Μαλεαν προς ὀρος Ψωφηδιον ἐρχευ.

Ἰξουμαι νυμφαι, χαιρετ', ἐγω δ' ὑπαγω.

Εἰς πολεμον και εἰρηνην,

'Απολλωνιδου.

Σκυλλος ὁτε Ξερξου δολιχος στολος Ελλαδα πασαν

'Ηλαυνεν, βυθιην εὑρατο ναυμαχινην,

Νηρῆος λαθριοισιν ὑποπλωσας τενχγεσσι,
Και τον απ' αγκυρης ὁρμον ἐκειρε νεων
Αὐτανδρος δ' ἐπι γῆς ολισθανε Περσις ἀναυδος
'Ολλυμενη, πρωτη πεῖρα Θεμιστοκλεους.

Εἰς πολεις,
'Ευηνου εἰς Τροιαν.

Ξεῖνοι, την περιβωτον ἐμε πτολιν, 'Ιλιον ἱρην,
Την παρος εὐπυργοις τειχεσι· κληζομενην,
Αἰῶνος τεφρη κατεδηδοκεν ἀλλ' ἐν Ομηρῳ
Κεῖμαι, χαλκειαν ἑρκος ἐχουσα πυλῶν.
Οὐκ ἐτι με σκαψει Τρωοφθορα δουρατ' 'Αχαιῶν,
Παντων δ' Ελληνων κεισομαι ἐν στομασιν.

Εἰς πορνας,
Σιμωνιδου.

Εὐφρω και Θαις και βοιδιον, αἱ Διομηδους,
Γραῖαι, ναυκληρων ὁλκαδες εἰκοσοροι,
'Απιν και Κλεοφῶντα και 'Ανταγορηνεν ἑκαστη
Γυμνους ναυηγῶν ἡσσονας ἐξεβαλον.

'Αλλα συν αυταῖς νηυσι τα λῃστρικα τῆς 'Αφροδιτης
Φευγετε. Σειρηνων αἱδε γαρ ἐχθροτεραι.

Εἰς ποταμους,
'Αντιφιλου.

Λαβροποδη χειμαῤῥε, τι δη τοσον ωδε κορυσσῃ.
Πεζον ἀποκλειων ἰχνος οδοιποριης;
Η μεθυεις ὀμβροιο, και οὐνυμφαισι διαυγες
Ναμα φερεις θολεραῖς δ'ηρανισ' εν νεφελαις.
'Οψομαι ἠελιῳ σεσεκαυμενον, ὁστις ἐλεγχειν,
Και γονιμον ποταμον, και νοθον οἶδεν ὑδωρ.

Εἰς πτωχους,
Παλλαδα.

Μηδεποτε ζησας ὁ πενης βροτος, οὐδ' ἀποθνησκει
Και ζῆν γαρ δοκεων, ὡς νεκυς ἦν ὁ ταλας.
Οἱ δε τυχας μεγαλας και χρηματα πολλα λαχοντες,
Οὗτοι τον θανατον πτῶσιν ἐχουσι βιου.

Εἰς σιωπην
Παλλαδα.

Ἡ μεγαλη παιδευσις ἐν ἀνθρωποισι, σιωπη.
Μαρτυρα Πυθαγοραν τον σοφον αὐτον ἐχω·
Ὁς λαλεειν εἰδως, ἑτεροις ἐδιδασκε σιωπᾶν,
Φαρμακον ἡσυχιης ἐγκρατες, εὑραμενος.

Εἰς σοφιαν,
Κριναγορου.

Αχρι τοῦ ὦ δειλαιε κεναῖς ἐπι ἐλπισι θυμε
Ποτηθεις ψυχρῶν ἀσσοτατω νεφεων,
Ἀλλοις ἀλλ᾽ επ᾽ ονειρα διαγραψεις αφενοιο;
Κτητον γαρ θνητοῖς οὐδεεν αὐτοματον.
Μουσεων ἀλλ᾽ ἐπι δῶρα μετερχεο· ταῦτα δ᾽ ἀμυδρα
Εἰδωλα ψυχῆς ἠλεματοισι μεθες.

Εἰς συγκρισιν,
Ἀδηλον.

Εἰ κυκνῳ δυναται κορυδος παραπλησιον ἀδειν,
Τολμῶεν δ᾽ ἐρισαι σκῶπες ἀηδονισιν,
Εἰ κοκκυξ τεττιγος ἐρεῖ λιγυρωτερος εἶναι

'Ισα ποιειν και εγω Παλλαδιῳ δυναμαι.

Εἰs τιμην,

Παλλαδα.

Εκληθην παρα σου του ρητορος· ει δ' απελειφθην,

Την τιμην απεχω, και πλεον ειμι φιλος.

Οὐδε γαρ ἡ ψυχη το φαγειν κρινουσα γεγηθεν,

'Αλλα μονον τιμῆς ἀισθομενῆ τρεφεται.

Εἰs τυχην,

Λουκιανου.

'Αγρος 'Αχαιμενιδου γενομην ποτε νυν δε Μενιππου.

Και παλιν ἐξ ἑτερου βησομαι ἐις ἑτερον

Και γαρ ἐκεινος ἐχειν με ποτ' ὡετο, και παλιν οὗτος

Οἰεται· ειμι δ' ολως οὐδενος ἀλλα τυχης·

Εἰs ὑπεροψιαν,

'Αδηλον.

'Ηλλακτ' ἐξαπινης Κορνηλιος, ουδ' ἐτι λιτῶ.

Τερπεται ἡμετερῳ μουσοχαρει βιοτῳ.

Κουφῆς δ' αἰωρειται απ' ἐλπιδος· οὐκ ἐτι δ' ἡμεῖς

Οἱ πατρος, ἀλλ' ετερης ἐλπιδος ἐκ κρεμαται

Εἰκωμεν ψυχη, πεπαλαισμεθα· μηδε βιαζου.

Εἰς εδαφος τεχνης κειμεν ὑπ' ἀρj υρεης.

Εἰς φημην,

Παλλαδα

Εἰ θεος ἡ φημη κεχ ολωμενη εστι και αὑτη

Ἑλλησι σφαλεροῖς ἐξαπατῶσα λογοις.

Φημη δ' ἀντιπαθης ἀναφαινεται εὐθυς ἀληθης,

Πολλακι και φημην ἐφθασεν ἡ ταχυτης.

Εἰς φθονον

Παλλαδα.

Ὁ φθονος οἰκτιρμοῦ κατα Πινδαρον, ἐστιν ἀμεινων.

Οἱ βασκαινομενοι λαμπρον εχουσι βιον·

Τους δε λιαν ἀτυχεῖς οἰκτειρομεν· ἀλλα τις εἰην

Μητ' ἀγαν εὐδαιμων μητ' ἀλεεινος ἐγω.

Ἡ μεσοτης γαρ ἀριστον· ἐπει τα μεν ἀκρα πεφυκε.

Κινδυνους επαγειν; ἐσχατα δ' υβριν ἐχει.

EX ANACREONTE

ODAE SELECTAE

Εἰς περιστεραν.

Ἐρασμιη πελεια,
Ποθεν ποθεν πετᾶσαι;
Ποθεν μυρων τοσουτων;
Ἐπ' ἠερος θεουσα.
Πνεεις τε, και ψεκαζεις;
Τις ἐστι, σοι μελει δε;
Ἀνακρεων μ' ἐπεμψε
Προς παῖδα, προς βαθυλλον,
Τον ἀρτι των ἁπαντων
Κρατοῦντα, και τυραννον,
Πεπρακε με Κυθηρη
Λαβοῦσα μικρον ὑμνον·
Ἐγω δ' Ἀνακρεοντι
Διακονῶ τοσαῦτα
Και νῦν, οἷας ἐκεινου
Ἐπιστολας κομιζω·
Και φησιν εὐθεως με
Ἐλευθερην ποιησειν.
Ἐγω δε, κἠν ἀφῇ με,
Δουλη μενῶ παρ' αὐτῷ·
Τι γαρ με δεῖ πετεσθαι
Ὀρη τε, και κατ' ἀγρους,

Και δενδρεσιν καθιζειν
Φαγουσαν ἀρνιον τι;
Τανυν ἐδω μεν ἀρτον
Ἀφαρπασασα χειρων
Ἀνακρεοντος αὐτου·
Πιειν δε μοι διδωσι
Τον οἰνον, ὃν προπινει·
Πιουσα δ' αὖ χορευσω,
Και δεσποτην Ἀνακρεοντα
Πτεροισι συγκαλυψω·
Κοιμωμενη δ' επ' αὐτῳ
Τῳ βαρβιτῳ καθευδω·
Ἐχεις ἁπαντ' απελθε
Λαλιστεραν μ' ἐθηκας,
Ἀνθρωπε, και κορωνης,

Εἰς ἑαυτον.

Ου μοι μελει Γυγαο
Του Σαρδεων ἀνακτος,
Οὐθ' αἱρεει με χρυσος;
Οὐδε φθονω τυραννοις.
Ἐμοι μελει μυροισι
Καταβρεχειν ὑπηνην·
Ἐμοι μελοι ροδοισι
Καταστεφειν καρηνα·
Το σημερον μελει μοι,
Το δ' αὐριον τις οἰδεν;
Ὡς οὐν ἐτ' εὐδί' ἐστι,
Και πινε, και κυβευε,

Και σπενδε τῷ Λυαιῳ,
Μη νοῦσος, ἥν τις ἔλθη,
Λεγη, σε μη δεῖ πινειν,
Εἰς το δεῖν πινειν.
Ἡ γῆ μελαινα πινει,
Πινει δε δενδρε' αὐτην,
Πινει θαλασσα δ' αὐρας,
Ὁ δ' ἡλιος θαλασσαν,
Τον δ' ἡλιον σεληνη·
Τι μοι μαχεσθ' ἑταῖροι;
Αὐτῷ θελοντι πινειν;
Εἰς ἑαυτον.
Επειδη βροτος ἐτεχθην
Βιοτου τριβον ὁδευειν,
Χρονον ἔγνων, ὃν παρῆλθον,
Ὃν δ' ἔχω δραμεῖν, οὐκ οἶδα·
Μεθετε με, φροντιδες,
Μηδεν μοι, και ὑμιν ἐστω·
Πριν ἐμε φθασῃ το τελος,
Παιξω, γελασω, χορευσω,
Μετα τοῦ καλοῦ Λυαιου.
Εἰς ἑαυτον.
Ὁταν Πινω τον οἰνον,
Εὕδουσιν αἱ μεριμναι·
Τι μοι πονων, τι μοι γοων,
Τι μοι μελει μεριμνῶν;
Θανεῖν με δει, κἂν με θελω.
Τι δε τον βιον πλανῶμαι;

Πιαμεν οὖν τον οἶνον
Τον τοῦ καλοῦ Λυαιου·
Συν τῷ δε πινεῖν ημᾶς
Εὔδουσιν αἱ μεριμναι·

Εἰς ἑαυτον

Ἀφες με τους Θεους σοι
Πιεῖν πιεῖν ἀμυστι·
Θελω, θελω, μανῆναι·
Ἐμαινετ' Ἀλκμαιων τε,
Χ' ὁ λευκοπους Ὀρεστης,
Τας μητερας κτανοντες·
Ἐγω δε μηδενα κτας,
Πιων δ' ἐρυθρον οἶνον,
Θελω Θελω μανῆναι,
Εμαινεθ' Ἡρακλῆς πριν,
Δεινην κλονῶν φαρετρην,
Και τοξον Ἰφιτειον·
Ἐμαινετο πριν Αἰας,
Μετ' ἀσπιδος κραδαινων
Την Ἑκτορος μαχαιραν·
Ἐγω δ' ἐχων κυπελλον,
Και στεμμα τουτο χαιταις,
Οὐ τοξον, οὐ μαχαιραν,
Θελω θελω μανῆναι.

Εἰς ἑαυτον

Ὀτ' εγω πιω τον οἶνον,
Τοτε μευ ἦτος ἰανθεν
Λιγαινειν ἀρχεται Μουσας·

Οτ' εγω πιω τον οἶνον,
Αποῤῥιπτονται μεριμναι,
Πολυφροντιδες τε βουλαι
'Ες ἁλικτυπους ἀητας·
Οτ' εγω πιω τον οἶνον,
Λυσιπαιγμων τοτε βακχος
Πολυανθεσιν μ' ἐν αὐραις
Δονεει μεθη γανωσας·
Οτ' εγω πιω τον οἶνον
Στεφανους ἀνθεσι πλεξας,
'Επιθεις δε τῷ καρήνω,
Βιοτου μελπω γαληνην·
Οτ' ἐγω πιω τον οἶνον,
Μυρῳ ευωδει τεγξας.
Δεμος, τοτ' ἐς χορειην
'Ο γερων ἐγω πτεροῦμαι,
Οτ' εγω πιω τον οἶνον,
Υπο κυρτοις δε κυπελλοις
Τον ἐμον νοον ἁπλωσας,
Θιασω τερπομαι κουρων,
Οτ' ἐγω πιω τον οἶνον,
Τοδε μοι μονῳ το κερδος.
Τοδ' εγω λαβων ἀποισω
Το θανεῖν γαρ μετα πάντων.

Εἰς τεττιγα.

Μακαριζομεν σε, τεττιξ,
'Οτι δενδρεων επ' ἀκρων,
'Ολιγην δροσον πεπωκως,

Βασιλευς ὁπως ἀειδεις.
Σα γαρ ἐστι κεῖνα παντα,
Οποσα βλεπεις ἐν ἀγροῖς,
Χ' ὁπόσα φερυσιν ὧραι.
Συ δε φιλια γεωργῶν,
Ἀπο μηδενος τι βλαπταν,
Συ δε τιμιος βροτοῖσι,
Θερεος γλυκυς προφητης.
Φιλεουσι μεν σε Μοῦσαι
Φιλεειδε Φοῖβος αὐτος,
Λιγυρην δ' ἐδωκεν οἰμαν.
Το δε γῆρος οὐ σε τειρει,
Σοφε, γηγενης, φιλυμνε,
Ἀπαθης ἀναιμοσαρκε.
Σχεδον εἶ Θεοῖς ὁμοιος.

Εἰς εαυτ.ν

Ὀταν ὁ Βακχος εἰσελθῇ,
Εὕδουσιν αἱ μεριμναι·
Δοκῶν δ' ἐχειν τα Κροισου,
Θελω καλως ἀειδειν
Κισσοστεφης δε κεῖμαι,
Πατω δ' ἁπαντα θυμῷ
Ὀπλιζ, ἐγω δε πινω.
Φερε μοι κυπελλον ὦ παῖ.
Μεθυοντα γαρ με κεῖσθαι
Πολυ κρεῖσσον ἢ θανοντα.

Εἰς το ἐαρ

Ἰδε πῶς ἐαρος φανεντος

Χαριτες ῥοδα βρυουσι;
Ιδε πῶς κῦμα θαλασσης
Ἀπολυνεται γαληνη;
Ἰδε πῶς νῆσσα κολυμβᾳ,
Ἰδε πῶς γερανος ὁδευει;
Ἀφελῶς δ ελαμψε τιταν·
Νεφελῶν σκιαι δονοῦνται·
Τα βροτῶν δ' ελαμψεν εργα·
Καρποῖσι γαῖα προκυπτει,
Καρπος ἐλαιας προκυπτει,
Βρομιου στεφεται νᾶμα·
Κατα φυλλον κατα κλῶνα
Καθελων ηνθησε καρπος.

Εἰς ἑαυτον

Ἐγω γερων μεν εἰμι,
Νεων πλεον δε πινω,
Κἀν δεησῃ με χορευειν..
Σκῆπτρον ἔχω τον ἀσκον.
Ὁ ναρθηξ δ' οὐδεν ἐστιν.
Ὁ μεν θελων μαχεσθαι,
Παρεστω και μαχεσθαι;
Εμοι κυπελλον ὦ παῖ,
Μελιχρον οἰνον ἡδυν
Εγκερασας, φορεσον,
Εγω γερων μεν εἰμι,
Σειληνον ἐν μεσοισι
Μιμουμενος χορευσω.

Εἰς ζωγραφον

'Αγε ζωγραφων αριστε,
Λυρικης ακουε· μουσης·
Φιλοπαιγμονες δε βακχας
'Ετεροπνοους εναυλους·
Γραφε τας πολεις το πρωτον
'Ιλαρας τε και γελωσας·
'Ο δε κηρος αν δυναιτο,
Γραφε και νομους φιλουντων.

Εἰς Διονυσον.

'Ο τον εν ποτοις ατειρη,
Νεον εν ποτοις ἀταρβη
Καλον εν ποτοις χορευτην
Τελεαν θεος κατηλθε·
'Απαλον βροτοισι φιλτρον,
Ποτον ἀστονον κομιζων
Γονον ἀμπελου τον οἶνον,
Πεπεδημενον ὁ παραις
'Επι κληματων φυλαττειν,
'Ιν' όταν τεμωσι βοτρυν,
'Ανοσοι μενωσι παντες,
'Ανοσοι δεμας θεητον,
'Ανοσοι γλυκυν τε θυμον,
'Εσετου φανεντος ἀλλου

Εἰς ῥοδον.

Στεφανεφορου μετ' ἠρου
Μελπομαι ῥοδον θερικον.
Συνεταιρεῖ αὔξει μελπειν.
Τοδε γαρ θεων ἀημα,

Τοδε και βροτῶν το χαρμα,
Χαρισιν τ' ἀγαλμ' εν ὡραις
Πολυανθεων ερωτων·
Ἀφροδισιον τ' ἀθυρμα.
Τοδε και μελημα μυθοις,
Χαριεν φυτον τε μουσῶν·
Γλυκυ και ποιοῦντα πεῖραν
Εν ἀκανθιναις ἀταρποῖς
Γλυκυ δ' αὖ λαβοντα θαλπειν,
Μαλακαῖσι χερσι κουφαις
Προσαγοντ' ερωτος ἀνθος.
Ὡσσοφῷ το δ' αυτο τερπνον,
Θαλιαις τε και τραπεζαις,
Διονυσιαις θ' ἑορταῖς.
Τι δ' ἀνευ ῥοδου γενοιτ' ἀν;
Ῥοδοδακτυλος μεν Ἠως,
Ῥοδοπηχεες και νυμφαι,
Ῥοδοχρους δε και Ἀφροδιτα
Παρα τῶν σοφῶν καλεῖται.
Τοδε και νοσοῦσιν ἀρκεῖ,
Τοδε και νεκροῖς ἀμυνει
Τοδε και χρονον βιᾶται,
Χαριεν ῥοδων δε γῆρας
Νεοτητος ἐσχεν ὀδμην.
Φερε δη φυην λεγωμεν.
Χαροπῆς οτ' εκ θαλαττης
Δεδροσωμενην Κυθηρην
Ἐλοχευε ποντος ἀφρῷ

Πολεμοκλονον τ' Αθηνην
Κορυφῆς ἐδεικνυε Ζευς,
Τοτε και ῥοδαν ἀγητῶν
Νεον ἐρνος ἡκ̓θισε χθων,
Πολυδαιδαλον λοχευμα.
Μακαρων θεῶν δ' ὁμιλος,
Ροδον ὡς γενοιτο, νεκταρ
'Επιτεγξας. ἀνετειλεν
'Αγερωχον ἐξ ἀκανθης
Φυτον ἀμβροτον Λυαιου.

Εἰς ἑαυτον

Οτ' ἐγω νεοις ὁμιλουν
Ἐσορῶν παρεστιν ἡκα,
Τοτε δη τοτ' ἐς χορειην
'Ο γερων ἐγω πτεροῦμαι.
Περιμεινον με Κυβηβα,
Παραδος, θελω στεφεσθαι.
Πολιον και γῆρας ἐκας,
Νεος ἐννεοις χορευσω.
Διονυσιης δε μοι τις
Φερετω ροιαν απ' οπωρης,
'Ιν' ἰδη γεροντος αλκην,
Δεδαηκοτος μεν εἰπεῖν,
Δεδαηκοτος και πινειν,
Χαριεντως δε μανῆναι.

CALLIMACHI ELEGIA

HYMNUS IN LAVACRA PALLADIS,

Οσσαι λωτροχοοι τας Παλλαδος, εξιτε πασαι,
Εξιτε· ταν ἵππων αρτι φρυασσομεναν
Ταν ἱεραν ἐσακουσα, και α Θεος ἑυτυκος ἑρπει·
Σουσθε νυν, ω ξανθαι, σουσθε Πελασγιαδες·
Ου ποκ' Αθαναια μεγαλως απενιψατο παχεις,
Πρὶν κονιν ιππειαν εξελασαι λαγοναν·
Ουδ' οκα δη λυτρω πεπαλαγμενα παντα φεροισα
Τευχεα, των ἀδικων ηνθ' ἀπο γηγενεων·
Αλλα πολυ πρατιστον υφ' ἁρματος αυχενας ἵππων
Λυσσαμενα, παγαις εκλυσεν Ωκεανω
Ἱδρω και ῥαθαμιγγας· ἐφοιβασεν δε παγεντα
Παντα χαλινοφαγων αφρον απο στοματων.
Ὠ ιτ' Αχαιαδες· και μη μυρα, μηδ' αλαβαστρως

(Συριγγων αιω φθογγον υπαξονιων)
Μη μυρα λωτροχοοι τα παλλάδι, μηδ' αλαβαστρως
(ου γαρ Αθαναια χριματα μικτα φιλει)
Οισετε, μηδε κατοπτρον· αει καλον ομμα το τηνας·
Ουδ' όκα ταν Ιδαν Φρυξ εδικαζεν ἐριν,
Ουδ' ἐς ορειχαλκον μεγαλα θεος, ουδε Σιμουντος
Εβλεψεν διναν ες διαφαινομεναν·
Ουδ 'Ηρη· Κυπρις δε διαυγεα χαλκον ἑλοισα,
Πολλακι ταν αυταν δις μετεθηκε κομαν.
'Α δε, δις εξηκοντα διαθρεξασα διαυλως,
Οια παρ' Ευρωτα τοι Λακεδαιμονιοι
Αστερες εμπεραμως ετριψατο λιτα λαβοισα
Χριματα, τας ἰδιας εκγονα φυταλιας.
Ω κωραι το δ' ερευθος ανεδραμε πρωϊον οιαν
Ή ροδον, η σιβδης κοκκος εχει χροιαν
Τω και νυν αρσεν τε κομισσατε μουνον ελαιον.
Ωἱ Καστωρ, ω και χριεται Ηρακλεης.

Οισετε και κτενα οἱ παγχρυσεον, ως απο χαιταν
Πεξηται, λιπαρον σπασαμενα πλοκαμον.
Εξιθ', Αθαναια· παρα τοι καταθυμιος ἶλα,
Παρθενικαι μεγαλων παιδες Ακεστοριδᾶν.
Ὠ θανα, φερεται δε και ἁ Διομηδεος ἀσπις,
Ὡς εθος Αργείων τουτο παλαιοτερον
Ευμηδης εδιδαξε, τειν κεχαρισμενος ἱρευς·
Ος ποτε βουλευτον γνους επι οἱ θανατον
Δαμον ετοιμαζοντα, φυγα τεον ιρον αγαλμα
Ωιχετ' εχων. Κρειον δ' εις ορος ωκισατο,
Κρειον ορος· σε δε, δαιμον απορραγεσσιν ἔθηκεν
Εν πετραις, αις νυν ουνομα Παλλατιδες
Εξιθ' Αθαναια περσεπτολι χρυσεοπηληξ
Ιππων και σακεων αδομενα παταγῳ.
Σαμερον υδροφοροι μη βαπτετε· σαμερον Αργος

Πινετ' απο κραναν, μηδ' απο των ποταμων.
Σαμερον αἱ δωλαι τας καλπιδας ἠ ς φυσαδειαν,
Η ἐς Αμυμωνην οισετε ταν Δαναω.
Και γαρ δη χρυσῳ τε και ανθεσιν υδατα μιξας
'Ηξει φορβαιων Ιναχος εξ ορεων,
Τα θανᾳ το λοετρον αγων καλον· αλλα, Πελασγε,
Φραζεο μ' ουκ εθελων ταν βασιλειαν ἰδῃς.
Ος κεν ἰδη γυμναν ταν Παλλαδα ταν πολιουχον,
Τωργος εσοψειται τουτο πανυστατιον.
Ποτνὶ 'Αθαναια, συ μεν ἐξιθι μεσφα δ' εγω τι
Ταις δ' ἐρεω· μυθος δ' ουκ εμος, αλλ' ἑτερων.
Παιδες, Αθαναια νυμφαν μιαν εν ποκα Θηβαις
Πουλυ τι και περι δη φιλατο ταν εταραν
Ματερα Τειρεσιαο, και ουποκα χωρις εγεντο·
Αλλα και Αρχαιων ευτ' επι Θεσπιεων,

Η' πι Κορανειας, η εἰς 'Αλιαρτον ἐλαυνοι
Ιππως, βοιωταν εργα διερχομενα,
'Η πι Κορανειας, ινα οι τεθυαμενον αλσος,
Και βωμοι ποταμω κειντ' επι Κουραλιω·
Πολλακις ἁ δαιμων μιν ἑω επεβασατο διφρω
Ουδ' ὁαροι νυμφαν, ουδε χοροστασιαι
'Αδειαι τελεθεσκον, οτ' ουχ' αγειτο Χαρικλω·
Αλλ' ετι και τηναν δακρυα πολλ' εμενε,
Καιπερ Αθαναια καταθυμιον ἑυσαν εταιραν·
Δη ποτε γαρ πεπλων λυσαμενα περονας,
Ιππω επι κρανα Ελικωνιδι καλα ρεοισα
Λωντο· μεσαμβρινα δ'ειχ' ορος ασυχια.
Αμφοτεραι λωοντο μεσαμβριναι δ'εσαν ωραι.
Πολλα δ' ασυχια τηνο κατειχεν ορος·
Τειρεσιας δ' ετι μουνος αμαι κυσιν, αρτι γενεια
Περκαζων, ιερον χωρον ανεστρεφετο.
Διψασας δ' αφατον τι, ποτι ροον ηλυθε κρανας,

Σχετλιος· ουκ εθελων δ' ειδε τα μη θεμιδες·

Τον δε χολωσαμενα περ, ομως προσεφασεν. Αθανα,

Τις σε τον οφθαλμως ουκ ετ' αποισομενον,

Ω Ευηρειδα, χαλεπην οδον αγαγε δαιμων;

'Α μεν εφα, παιδος δ' ομματα νυξ εβαλεν.

Εσταθη δ' αφθογγος· εκολλασαν γαρ ανιαι

Γωνατα και φωναν εσχεν αμηχανια·

'Α νυμφα δ' ἐβοησε, Τι μοι τον κωρον ερεξας

Ποτνια; τοιαυται δαιμονες εστε φιλαι;

Ομματα μοι του παιδος αφειλεο· τεκνον αλαστε

Ειδες 'Αθαναιας στηθεα και λαγονας.

Αλλ' ουκ αελιον παλιν οψεαι· ω εμε δειλαν.

Ω ορος, ω Ελικων ουκ ετι μοι παριτε.

Η μεγαλ' αντ' ολιγων επραξαο· δορκας ολεσσας

Και προκας ευ πολλας φαεα παιδος εχεις.

'Α μεν επ' αμφοτεραισι φιλον περι παιδα λαβοισα

Ματηρ μεν γοερων οιτον αηδονιδων
Αγε βαρυ κλαιουσα θεα δ' ελεησεν εταιραν,
Και μιν Αθαναια προς τοδ' ελεξεν επος,
Δια γυναι, μετα παντα βαλευ παλιν οσσα δι οργαν
Ειπας· εγω δ' ουτοι τεκνον εθηκ' αλαον.
Ου γαρ Αθαναια γλυκερον πελει ομματα παιδων
Αρπαζειν: Κρονιοι δ' ωδε λεγοντι νομοι·
Ος κε τιν' αθανατων, οκα μη θεος αυτος εληται,
Αθρηση; μισθω τουτον ιδειν μεγαλω·
Δια γυναι. το μεν ον παλιναγρετον αυθι γενοιτο
Εργον· επει μοιραν ωδ' επενευσε λινα,
Ανικα τοπρωτον νυν εγειναο· νυν δε κομιζευ,
Ω Ευηρειδα, τελθος οφειλομενον·
Ποσσα μεν α Καδμηις εσυστερον εμπυρα καυσει.
Ποσσα δ' Αρισταιος, τον μονον ευχομενοι
Παιδα τον αβαταν Ακταιονα τυφλον ιδεσθαι,

Και τηνος μεγαλας συνδρομος Αρτεμιδος
Εσσεται· αλλ' ουκ αυτον ο, τε δρομος, αἱ τ' εν ορεσσι
Ρυσευνται ξυναι ταμος ἑκαβολιαι
Ὁπποταν ουκ εθελων περ ἰδη χαριεντα λοετρα
Δαιμονος· αλλ' αυται, τον πριν αναχτακυιες
Τουτακι δειπνησευντι· τα δ' υιεος οστεα ματηρ
Δεξειται δρυμας παντας επερχομενα·
Ολβισταν ερεει σε και ευαιωνα γενεσθαι,
Εξ ορεων αλαον παιδ' υποδεξαμεναν.
Ω εταρα, τω με τι μινυρεο· ταδε γαρ αλλα
Τευ χαριν εξ εμεθεν πολλα μενευντι γερα.
Μαντιν επει θησω νιν αοιδιμον εσσομενοισιν.
Η μεγα, των αλλων δη τι περισσοτερον·
Γνωσειται δ' ορνιθας, ος αισιος, οι τε πετονται
Ηλιθα και ποιων ουκ αγαθαι πτερυγες.
Πολλα δε Βοιωτοισι θεοπροπα, πολλα δε Καδμῳ

Χρησει, και μεγαλοις υστερα Λαβδακιδαις·

Δωσω και μεγα βακτρον, ὁ οἱ ποδας ες δεον αξει,

Δωσω και βιοτου τερμα πολυχρονιον.

Και μονος, ευτε θανη, πεπνυμενος εν νεκυεσσι

Φοιτασει, μεγαλῳ τιμιος αγεσιλα.

Ὡς φαμενα κατενευσε· το δ' εντελες, ᾧ κ' επινευση

Παλλας· επει μονα Ζευς τογε θυγατερων

Δωκεν Αθαναια, πατρωια παντα φερεσθαι.

Λωτροχοοι ματηρ δ' ουτις ετικτε θεαν,

Αλλα Διος κορυφα· κορυφα Διος ᾧ κ' επινευση

Εμπεδον ωσαυτως ῳ κεν οἱ ἁ θυγατηρ

Ερχετ' Αθαναια νυν ατρεκες· αλλα δεχεσθε

Ταν θεον ω κοραι, τωργος οσαις μελεται,

Συν τ' ευαγορια, συν τ' ευγμασι, συν τ' ολολυγαις.

Χαιρε θεα, καδευ δ' Αργεος Ιναχιου.

Χαιρε και εξελοισα, και ες πολιν αυτις ελασσαις

Ιππους, και Δαναων κλαρον απαντα σαω.

EX THEOCRITO

IDILLIA

BUBULCI

DAPHNIS, ET MENALCAS

Me: Βωκολιασδεο Δαφνι τυ δ' ὠδᾶς ἀρχεο πρᾶτος.
'Ωδᾶς ἀρχεο πρᾶτος, ἐφεψασθω δε Μεναλκας.
Μοσχως βωσιν ὑφεντες, ὑπο στειραισι δε ταυρως
Χὼ μεν ἀμᾶ βοσκοιντο, και ἐν φυλλοισι πλανῷντο,
Μηδεν ἀπμαγελεῦντες ἐμιν δε τυ βωκολιασδευ
'Εμποτεν· ἀλλωτεν δε ποτικρινοιτο Μεναλκας.
Daf. 'Αδυ μεν ἁ μοσχος γαρυεται,
ἁδυ δε χ' ἁ βῶς,
'Αδυ δε χ' ἁ συριγξ, χὡ βωκολος· ἁδυ δε κηγων.
'Εντι δε μοι παῤ ὑδωρ ψυχρον στιβας· ἐν δε νενασται

Λευκᾶν ἐκ δαμαλᾶν καλα δερματα, τας μοι ἁπασας

Λιψκομαρον τρωγοισας, ἀποσκοπιᾶς ἐτιναξε

Του δε τερους φρυγοντος ἐγω τοσσον μελεδαινω,

Οσσον ἐρῶντι πατρος μυτων και ματρος ἀκουειν.

Ουτω Δαφνις ἀεισεν ἐμιν οὑτω δε Μεναλκας.

Με:. Ἀιτνα μᾶτερ ἐμα, κηγω καλον αντρον ἐνοικῶ

Κοιλαις ἐν πετρησιν· εχω δε τοι ὁσσ' ἐν ὀνειρῳ.

Φαινονται, πολλας μεν οις, πολλας δε χιμαιρας,

Ὡἶν μοι προς κεφαλᾶ και παρ ποσι κωεα κεῖνται

Ἐν πυρι δε δρυινῳ χορια Ζεῖ, ἐν πυρι δ' αὖαι

Φαγοι χειμαινοντος· εχω δε τοι οὐδ' ὁσον ὡραν

Χειματος, ἡ νωδος καρυων ἀμυλοιο παροντος.

Τοῖς μεν ἐπεπλαταγησα, και αυτικα δῶρον ἐδωκα.

Δαφνιδι μεν κορυναν, ταν μοι πατρος ετρεφεν ἀγρος,

Αὐτοφυᾶ, ταν οὐδ' ἀν ισως μωμασατο τεκτων.

Τηνω δε στρομβω καλον ὀστρακον; οὗ κρεας ἀυτος

Σιταθην, πετραισιν εν 'Ικαριαισι δυκευσας,

Πεντε ταμων πεντ' οὖσιν ὁ δ' εγκαναχησατο κοχλω.

Βωκολικαι μῶσαι μαλα χαιρετε· φαινετε δ' ὠδαν

Ταν ποκ' ἐγω τηνοισι παρων ἀεισα νομευσι.

Μηκετ' ἐπι γλωσσας ἀκρας ὀλοφυγδονα φυσῃς.

Τεττιξ μεν τεττιγι φιλος, μυρμακι δε μυρμαξ,

'Ιρηκες δ' ἱρηξιν· εμιν δ' ἀ μῶσα και ὠδα·

Τας μοι πᾶς ἐιη πλεῖος δομος' ουτε γαρ ὑπνος.

Οὐτ' ἐαρ εξαπινας γλυκερωτερον, οὐτε μελισσαις

'Ανθεα, ὁσσον ἐμιν μῶσαι φιλαι· οὐς γαρ ὁρῶσαι

Γαθεῦσιν, τως δ' οὐ τι ποτῷ δαλησατο Κιρκα.

COLUS

IDILLIUM.

Γλαυκᾶς ὦ φιλεριδ' ἀλακατα δωρον ἀθαναας.
Γυναιξι νοος οικωφελέεσσι σος επηβολος·
Θαρσεῦς ἀμμιν ὑμαρτει πολιν ἐς Νειλεω ἀγλααν,
'Οππα Κυπριδος ἱρον καλαμῳ χλαρον ὑφ' ἀπαλῶ.
Τῆδε γαρ πλοον ἐυανεμον αἰτευμεθα παρ Διος,
Οππας ξεῖνον ἐμον τερψομ' ἰδων καντιφιλησομαι
Νικιαν, Χαριτων ἱμεροφωνων ἱερον φυτον·
Και σε ταν ἐλεφαντος πολυμοχθῳ γεγενημεναν;
Δῶρον Νικιεας εἰς ἀλοχω χερρεσσι ὀπασσομεν
Συν τᾶ πολλα μεν ἐργ' ἐκτελεσεις ἀνδρειοις πεπλοις,
Πολλα δ' οἷα γυναῖκες φορεοισ' ὑδατινα βρακη.
Δις γαρ ματερες ἀρνῶν μαλακοὺς εν βοτανα ποκους

Πεξαιντ' αὐτοετει Θευγενιδος γ' ἐινεκ ευσφυρω.
Ουτας ἀγυσιεργος· φιλεει δ' ὁσσα σαοφρονες.
Οὐ γαρ εἰς ἀκερας οὐδ' ἐς ἀεργως μεν ἐβαλλομεν
Οππασαι σε δομας, ἀμετερας εὖσαν ἀπο χθονος,
Και γαρ σοι πατρις αν ω ξ' Ἐφυρας κτισσε ποτ' Αρχιας,
Νασω Τρινακριας μυελον, ανδρῶν δοκιμαν πολιν,
Νῦν μαν οἶκον ἐχουσ' ανερος ὁς πολλ' ἐδαη σοφα
Ανθρωποισι νοσους φαρμακα λυγρας ἀπαλαλκεμεν,
Οικησεις κατα Μιλατον ἐρατειναν μετ' Ἰαονων·
Ὡς ἐναλακατος Θευγενις εν δαμοτισιν πελη,
Και οἱ μνᾶστιν ἀει τῶ φιλαοιδῶ παρεχῃς ξενω.
Καινο γαρ τις ερειτω, ποτιδων σ', Ἦ μεγαλα χαρις
Δωρῳ ξυν ολιγῳ παντα δε τιμᾶντα τα παρα φιλων.

MAENADES

IDILLIUM

'Ινω, κ' Αυτονοα, χὰ μαλοπαρηος 'Αγαυα,
Τρεις θιασως ἐς ὀρος τρεις αγαγον αὐται ἐοῖσαι·
Χαι μεν ἀμερξαμεναι λασιας δρυος ἀγρια φυλλα
Κισσον τε ζωοντα και ἀσφοδελον τον ὑπερ γᾶς,
'Εν καθαρῷ λειμωνι καμον δυοκαιδεκα βωμους,
Τως τρεις τᾶ Σεμελα, τως εννεα τῷ Διονυσῳ·
Ἱερα δ' ἐκ κιστας πεπογαμενα χερσιν ελοῖσαι,
Εὐφαμως κατεθεντο νεοδρεπτων επι βωμῶν,
'Ως ἐδιδασχ', ως αυτος ἐθυμαρει Διονυσος.
Πενθευς δ' αλιβατου πετρας ἀπο παντ' ετεωρει,
Σχινον ἐς ἀρχαιαν καταδυς, επιχωριον ἐρνος·
Αὐτονοα πρωτα νιν ἀνεκραγε δεινον ἰδοῦσα,

Συν δ' εταραξε ποσιν μανιωδεος οργια βακχου,
'Εξαπινας ἐπιοῦσα· τα δ' ουχ' οροωντι βεβαλοι.
Μαινετο μεν τ' αὐτα, μαινοντο δ' αρ εὐθυ και ἀλλαι
Πεθευς μεν φεῦγεν πεφοβημενος· αἱ δ' εδιωκον;
Πεπλως ἐκ ζωστῆρος, επ' ἰγνυ ἀνειρυσασαι,
Πενθευς μεν τοδ' ἐειπε, τινος κεχρησθε γυναῖκες;
Αυτονοα τοδ' ἐειπε, ταχα γνωσῃ πριν ακοῦσαι.
Ματηρ μεν κεφαλαν μυκησατο παιδος ελοῖσα,
Οσσον περ τοκαδος τελεθει μυκημα λεαινης.
Ινω δ' ἀῦτ' ερρηξε συν ωμοπλατα μεγαν ὦμον,
Λαξ ἐπι γαστερα βᾶσα και 'Αυτονοας ῥυθμος ωυτός
Αἱ δ' αλλαι τα περιοσσα κρεα νομεοντα γυναικες.
Ες Θηβας δ' αφικοντο πεφυρμεναι αιματι πᾶσαι,
Εξ ορεος πενθημα, και οὐ Πενθῆα, φερουσαι.

Ουκ ἀλεγω, μηδ' αλλος ἀπεχθεμεναι Διονυσῳ.
φροντιζοι, μηδ' οἱ χαλεπωτερα των δ' ἐμογησεν,
Ειη δ' ενναετης, ἠ και δεκατῳ ἐπιβαινοι,
Αὐτος δευαγεοιμι, και ἐυαγεεσσιν ἀδοιμι.
'Εκ Διος αιγιοχῳ τιμαν ἐχει αιετος οὗτος,
Ευσεβεων παιδεσσι τα λωια, δυσσεβεων δ' οὐ.
Χαιροι μεν Διονυσος, ον ἐν Δρακανῳ νιφοεντι
Ζευς ὑπατος μεγαλαν ἐπιγουνιδα θηκατο λυσας·
Χαιροι δ' ἐνειδης Σεμελα, και ἀδελφεαι αυτῆς,
Καδμειαι, πολλαῖς μεμελημεναι ἡρωιναις,
Αἱ τοδε ἐργον ερεξαν ὁριναντος Διονυσου.
Οὐκ επιμωμητον· μηδεις τα θεων ὀνοσαιτο·

Ἀπενια Διοφαντε μονα τας τεχνας ἐγειρει·
Αὐτα τῳ μοχθοιο διδασκαλος· ουδε γαρ εὑδειν
Ανδρασιν ἐργατιναισι κακαι παρεχοντι μεριμναι·
Κἀν ὀλιγον νυκτος τις ἐπιψαυσησι τον ὑπνον,
Αἰφνιδιον θορυβευσιν εφισταμεναι μελεδωναι,
Ιχθυος ἀγρευτῆρες ομως δυο κεῖντο γεροντες,
Στρωσαμενοι βρυον αὖον ὑπο πλεκταῖς καλυβαισι,
Κεκλιμενοι τοιχῳ τῳ φυλλινῳ· εγγυθ δ' αὐτοιν
Κειτο τα ταῖν χειροῖν αθληματα, τοι καλαθισκοι,
Τοι καλαμοι, τὠγκιστρα, τα φυκιοεντα τε λῆδα,
Ὁρμειαι, κυρτοι, και ἐκ σχοινων λαβυρινθοι,
Μηρινθοὶ, κῶας τε, γερων δ' επ' ἐρεισμασι λεμβος·

Νερθεν τᾶς κεφαλᾶς φορμος βραχυς, ἑιματα, πῖλοι.

Οὗτος τοῖς ἀλιεῦσιν ο πᾶς πονος· οὗτος ο πλοῦτος·

Ουδεις δ' οὐ χυτραν εἶχ', ὁ κυνα· παντα περισσα

Παντ' ἐδοκει τηνας αγρας· πενια σφιν ἑταιρα·

Ουδεις δ' ἐν μεσσῳ γειτων, παντα δε παρ αὐτην

Θλιβομεναν καλυβαν τρυφερον προσεαχε θαλασσα.

Οὔπω τον μεσατον δρομον ἄνυεν ἅρμα σελανας,

Τους δ' ἁλιεις ηγειρε φιλος πονος· ἐκ βλεφαρων δε

'Υπνον ἀπωσαμενοι σφετεραις φρεσιν ἠρεθον ωδαν.

Ψευδονται φιλε παντες οσοι τας νυκτας εφάσκον

Τῶ θερεος μινυθειν, οτε ταμαθα μακρα φερει Ζευς

'Ηδη μυρι ἐσειδον ὀνειρατα κυυδεπω ἀως

Μη λαθομην; τι το χρῆμα; χρονον δ' αἱ νυκταις εχοντι

Ασφαλιων μεμφη, το καλον θερος· οὐ γαρ ὁ καιρος

'Αυτοματως παρεβα τον ἑον δρομον·
αλλα τον υπνον

Αφροντις κοπτοισα, μακραν ταν νυ-
κτα ποιει τιν.

Αρ', εμαθες κρινειν ποκ' ἐνυπνια; χρη-
στα γαρ εἰδον

Οὔ σε θελω ταμῶ φαντασματος ἦμεν
ἀμοιρον.

Ως και ταν αγραν, των ειρατα παντα
μεριζεν.

Οὐ γαρ νικαξῆ κατα τον νοον· οὗτος
ἀριστος.

'Εστιν ὀνειροκριτας, ὁ διδασκαλος ἐ-
στι παρ' ῶ νους,

'Αλλως και σχολη εστι τι γαρ ποιειν
ἀν εχοι τις

Κειμενος εν φυλλοις ποτι κυματι, μη-
δε καθευδων

'Ασμενος ἐν ραμνω; τοδε λυχνιον ἐν
πρυτανειω.

φαντι γαρ ἀιεν ἀγραν τοδ' εχειν: Λε-
γε μοι ποτε νυκτος

'Οψιν, παντα τεῶ δε λεγων μηνυσιν
εταιρω.

Δειλινον ως κατεδαρθων εν ἐιναλιοισι
πονοισιν,

(Ουκ' ἦν μαν πολυσιτος· επει δειπ-
νεῦντες ἐν ὡρα

Ει μεμνη, τας γαστρος ἐφειδομεθ᾽)
εἰδον ἐμαυτον

Ἐν πετρα μεμαῶτα· καθεζομενος δε
δοκεῦον

Ἰχθυας, ἐκ καλαμων δε πλανον κα-
τεσειον ἐδωδαν.

Και τις τῶν πραφερῶν ὠρεξατο· και
γαρ ἐν ὑπνοις

Πᾶσα κυων αρτως μαντευεται ἰχθυα
κὴγων.

Χὼ μεν ταγκιστρω ποτεφυετο, και
ρεεν αἷμα·

Τον καλαμον δ᾽ ὕπο του κινηματος
αγκυλον εἶχον·

Τω χερε τεινομενος, περι κνωδαλον
εὖρον αγωνα,

Πῶς μεν ἑλω μεγαν ἰχθυν ἀφαυροτεροισι
σιδηροις,

Εἶθ᾽ ὑπομιμνασκων τῶ τρχυματος,
ἀρ ἐμε νυξεις;

Και νυξη χαλεπῶς· και οὐ φευγοντος
ἐτεινα.

Ἠνυσ᾽ ἰδων τον ἀεθλον· ἀνηλκυσα χρυ-
σεον ἰχθυν,

Παντα τῷ χρυσῳ πεπυκασμενον· εἶχε
δε δεῖμα

Μη τι Ποσειδαωνι πελοι πεφιλαμενος
ἰχθυς,

Ἡ ταχα τᾶς γλαυκᾶς κειμηλιον Αμφιτριτης.

Ηρεμα δ' αυτον εγω ἐκ τογκιστρω απελυσα,

Μη ποτε τῶ στοματος ταγκιστρια χρυσον ἐχοιεν.

Και τον μεν κειστῆρσι κατῆγον επ' ἠπειροιο.

Ὠμοσα δ' οὐκετι λοιπον ὑπερ πελαγους ποδα θεῖναι,

Αλλα μενειν ἐπι γᾶς και τῷ χρυσῷ βασιλευειν.

Ταῦτα με κἀξηγειρε· τυ δ' ὦ ξενε λοιπον ἐρειδε.

Ταν γνωμαν' ορκον γαρ ἐγω, τον ἐπωμοσα ταρβῶ.

Και συ γε μη τρεσσης· οὐκ ὠμοσας· οὐδε γαρ ἰχθυν

Χρυσεον εἶδες ἠ εὗρες· ισαι δε ψευδεσιν οψεις,

Ει δ' ὑπερ, οὐ κνωσσων, τυ τα χωρια ταῦτα ματευσεις,

Ἐλπις των υπνων ζατεῖ τον σαρκινον ιχθυν.

Μη συ θανῃς λιμῷ, καιτοι χρυσοισιν ὀνειροις.

EX MOSCHO

IDILLIUM

Ταν ἁλα ταν γλαυκαν οταν ωνεμος ατρέμα βαλλη,
Ταν φρενα ταν δειλαν ερεθιζομαι, ουδ' ετι μοῖσα
Εν τοι φιλα, ποταγει, δε πολυ πλεον αμμε γαλανα·
Αλλ' οταν αχηση πολιος βυθος, α δε θαλασσα
Κυρτον επαφριζη, τα δε κυματα πολλα μεμηνη,
Ες χθονα παπταινω και δενδρεα, ταν δ' αλα φευγω·
Γᾶ δε μοι απιστα, ταχα δ' ἐυσκιος ευαδεν υλα·
Ενθα και ην πνευση πολυς ωνεμος, α πιτυς αδει.
Η κακον ογριπευς ζωει βιον, ὦ δομος ἁ ναῦς,
Και πονος εντι θαλασσα και ἰχθῦς ᾳ πλανος αγρα.
Αυταρ εμοι γλυκυς υπνος υπο πλατανῳ βαθυφυλλῳ,

Και παγᾶς φιλεοιμι τον εγγυθεν ἦχον ακουειν,
Ατερπει ψοφεοισα τον αγρικον, ουχι ταρασσει.

INDEX

PRESIDENZA

DELLA

REGIA UNIVERSITA' DEGLI STUDII

E DELLA

GIUNTA DI PUBBLICA ISTRUZIONE.

Vista la dimanda del Tipografo Raffaele Miranda con la quale chiede di voler stampare l' opera intitolata — *Silloge Greca per uso delle Scuole de' PP. Gesuiti.*

Visto il favorevole parere del Regio Revisore Signor D. Francesco Saverio Apuzzo.

Si permette che l' indicata Opera si stampi, però non si pubblichi senza un secondo permesso, che non si darà se prima lo stesso Regio Revisore non avrà attestato di aver riconosciuto nel confronto uniforme la impressione all' originale approvato.

Pel Presidente. -- Can. FRAN. ROSSI

Il Seg. Gen. e membro della Giunta

Gaspare Selvaggi.